αὐτάς· τῶν λειτουργικῶν πνευμάτων εἰς διακονίαν ἀποστελλομένων διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· κόσμος λαμπάδων, ἡ κατὰ τὰς αἰσθήσεις ἁγνότης καὶ χρῆσις· ὀφθαλμῶν τὸ θαυμάζειν τὸν πεποιηκότα καὶ μύειν, ἵνα μὴ ἴδωσιν ἀδικίαν, ἀκοῆς, μὴ παραδεχομένης μάταιον· μηδὲ κρίσιν αἵματος· τοὺς δὲ Ἰησοῦ λόγους· γεύσεως, ἐσθιούσης Χριστὸν Κύριον· ὀσφρήσεως, Χριστοῦ εὐωδίας ἀπολαυούσης· καὶ τοῦ κενωθέντος μύρου· ἁφῆς, ἀπτομένης τοῦ λόγου· ὡς Ἰωάννης λέγει· αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς::

Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται. | στιώ

Γίνεται φωνὴ μεσονυκτίου ἐκείνῃ τῇ ὥρᾳ, ᾗ ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου· ἐν ᾗ καὶ ὁ Χριστὸς ἀνέστη ἐκ νεκρῶν· φωνὴ δέ ἐστιν ἡ σάλπιγξ ἡ τοὺς νεκροὺς ἐγείρουσα καὶ ἐξάγουσα ἐκ τῶν τάφων· ἀλλὰ δὲ καὶ μυστικὸν νοῶ τό, ἐξέρχεσθε· λαμπάδες τῶν παρθένων, ὁ τῆς γνώσεως φωτισμός· ἔλαιον δὲ εἰς τὰς λαμπάδας, ἡ ἐν ἐπιγνώσει σπουδή· αὕτη γὰρ τὸ ἐν ἡμῖν διαφυλάττει φῶς· ἁπλοῦν τὸν ὀφθαλμὸν διατηροῦσα· ὥστε φωτίζεσθαι πᾶν τὸ σῶμα κατὰ τὸν λόγον τοῦ Κυρίου· αἱ μὲν οὖν λαχοῦσαι τὴν μετὰ λόγου σπουδήν, φρόνιμοι· αἱ δὲ ἀμελεῖς, μωραί· τὸ δὲ ἐκάθευδον, τὴν κοίμησιν τοῦ θανάτου λέγει· μεσονύκτιον δέ, τὸ αἰφνίδιον δηλοῖ καὶ τὸ ἀπροσδόκητον ἅμα καὶ τὸ φοβερόν· καὶ ταῖς μὲν ἐξαμαρτούσαις παρ' ἑτέρων αἰτεῖν ἑπόμεναι· τῶν δὲ φαύλων μηδὲν ὠφελήσει· ἄρχεσθαι συγγνώμης τυχεῖν· καὶ οἱονεὶ καταισχύνεσθαι· καὶ εἰς παραφροσύνην χωρεῖν· ὥσπερ οἱ ἠθῆναι ἐλεηθῆναι αὐτούς· διὰ τῆς ἑτέρων ὀρθότητος· διὸ ἀποδοκιμάζονται λαχόντων ἐκείνων· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν:-

Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας· πωλοῦσι τὸ ἔλαιον, οἱ διδάσκοντες μισθὸν προσεδρείας· προσοχῆς· φιλομαθίας· σπουδῆς· φιλοπονίας: | ὡρι

Πωλοῦντές εἰσι· προφῆται· ἀπόστολοι· ἀγγελικοί· διδόντες τὸ μανθάνειν τὴν ἀρετὴν ἐργάζεσθαι:- | κυρι

Κύριε Κύριε ἄνοιξον ἡμῖν· διὰ οὖν τὴν παρρησίαν τῆς παρθενίας, αἱ τοῦ [illegible] αὐταῖς· καὶ οὐκ ἄμοιρα· ὅτι κατὰ καιρὸν οὐκ ἐπεμελήσαντο αὐτῶν· καὶ τοῦτο ἐστὶν οὐκ οἶδα ὑμᾶς

πρὸ τοῦ ὄχλου κτήσασθαί τι. αἱ μὲν φρόνιμοι σὺν αὐτῷ συνεισῆλθον
αἱ δὲ μωραί, ἔξωθεν εἰάθησαν. διὰ τὸ μὴ ἔχειν αὐτάς. τῆς ἐν
θέου πολιτείας τὸ περιφανές, καὶ ἐκλείσθη ἡ θύρα:-

† Μηδεὶς οὖν νομιζέτω περὶ τῶν γάμου καὶ μονίας ἁρμοσαμένων.
μόνον εἶναι ταῦτα τὸ εὐαγγέλιον λέγεσθαι. ἀλλὰ περὶ πάσης ψυχῆς
διὰ τῆς τοῦ λόγου πρὸς τὰς παλιγγενεσίας καταγγελθείσης Χριστῷ.
καὶ λαμπάδας πᾶσαι ταύτας μὲν μὴ σβέσαι ἔχειν. τῶν ἀρετῶν τὴν
παρασκευήν. ἵν' ὅταν ἐξίωσιν ὧν καὶ τίκτει τὸ δεύτερον μακάριος.
ἐκάστη τὸν τῶν οἰκείων ἔργων ἀνατείλασα φωσφόρον. τῆς ἀρετῆς τὴν
τοῦ ἐλαίου προσάγουσα τὴν καταρδόμενον. καὶ διὰ τῆς φαι-
δρότητος τοῦ νυμφίου τὸ πρόσωπον ἐφελκύσῃ:-

ὡρ. Δέκα παρθένους ἡμᾶς φησίν. τὰς ἐν ἑκάστῃ ψυχῇ αἰσθήσεις ἀποτε-
σας τῆς εἰδωλολατρείας. τοῦ παραδέξασθαι εἴσω περιφανῶς.
εἰσαρμόσαι τὸν τοῦ θεοῦ καθαρὸν λόγον. καὶ παρθενοποιηθείσας.
ἅς δὲ αἵ τε κοινωνοῦς νοούμεναι καὶ ἐν πορριμέναις κείμεναι
αἱ καὶ ἀνταλλοχουθοῦσιν ὡς ἀργεῖαι τῇ ὑποφορᾷ τοῦ Χριστοῦ. διὸ καὶ
ἐν τῇ ἐπιστάσει αὐτοῦ χαὶ μὲν μωραί. αἱ δὲ φρόνιμοι. ἀλλ' ἔχειν μία,
καὶ τοῦσαι. ἐξ ἡμῶν δὲ ἑαυτῶν ἀπάντησιν, αἱ παραδεξάμεναι τὸ
περὶ Χριστοῦ καὶ ἐκκλησίας μυστήριον. ἐξ ἰδίου θεραπόντος τοῦ κόσμου
πολυώνυμος. σπεύδουσαι πρὸς τὸν ἕτοιμον ὁρμὴν προσάγειν:-

σημ. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν. μωρὰς καλεῖ κατ' ἐπίκλημα τὸ οἰκο-
δόμον. λαμπάδας φησὶν εἶναι ταύτας. αὐτὸ τοῦτο τῆς παρθενίας
χάρισμα. τὸ καθαρὸν τῆς ἁγνωσύνης. ἔλαιον δὲ τὴν φιλανθρωπίαν.
καὶ τὴν περὶ τοὺς δεομένους θεραπείαν:-

ὡρ. Πολλοὶ γὰρ ἔχουσιν. οἱ αὐτάρκη μὲν πρὸς τὴν χρῆσιν τῆς πολιτείας
ἔχουσι λόγον. οὐ μὴν ὥσπερ καὶ ἑτέροις διδάξαι:-

σημ. Ἔστι τὸ ὂν μὲν ἡ παρθενία περ' αὐτὴν ἐλεημοσύνην. καὶ ἔστιν
ὁμοίως, παρὰ τὸ σῶμα. καὶ τοῦτο λείπει τῶν κατωρθωμένων:-

Φρόνιμοι μέν, αἱ τοῦ κατὰ λόγον κινοῦσαι τὰς αἰσθήσεις. μωραὶ δέ,
τοῦ ἐναντίου κινοῦντος. ἢ καὶ παρθένοι. λαμπάδες δέ,
τὰ ὄργανα τοῦ καλοῦ καὶ κατὰ λόγον κινοῦντος. ἡ ἐνέργεια τέως.
ἔλαιον. ὁ ἐπ' ἔργοις λόγος. καθεύδουσιν. οἱ ἀποδημοῦσαι τοῦ
ζωτικοῦ πόνου. οὐκ ἀπολλύουσι τοίνυν τὰς λαμπάδας. αἱ δὲ
φρόνιμοι, οὐδὲ ἀπαρρήσεις τοῦ περὶ τὴν τήρησιν τοῦ ἐλαίου.
ἐμμένουσι οἱ ἄγγελοι ταῖς κοιμωμέναις αἰσθήσεσι. διεγείροντες

+ Ἔοικε δὲ αὕτη ἡ παραβολὴ καὶ ἡ ἑξῆς, τῇ τοῦ πιστοῦ δούλου λόγῳ
καὶ τοῦ ἀγνώμονος· συμπεράσματα δὲ τοῦ λόγου, πᾶσαν τὴν και-
ρῷ· συνεστάλθαι πρὸς τὴν ἔξοδον· καὶ ἀεὶ αὐτὴν μνημονεύειν
φυλάσσειν τηρεῖν:- Κατ' ἄλλην μὲν περίοδον κεῖται ἡ παραβολή· λέγω παρ' οὐ τῇ
κόκκου... ἡ πρὸ αὐτῆς δὲ ἐστὶν ἡ παραβολή· ἀλλ' αὐτοτελής· ἀμπ
καὶ τοῦ προειρημένου ῥητοῦ αἰτία εἴρηται· οἷον οὐκ οἴδατε
τὴν ἡμέραν ἢ τὴν ὥραν· ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται· διατί;
ὥσπερ ἄνθρωπος ἀποδημῶν, οὕτως ἔρχεται· ἀπὸ κοινοῦ γὰρ τὸ
ἔρχεται· τὸ αἰφνίδιον δὲ διὰ τούτου παρίστησι τῆς παρουσίας
αὐτοῦ· ἐπεὶ ἐξυφαίνεται τὸ παράδειγμα· ὃς ἐκάλεσε φησὶ τοὺς
ἰδίους δούλους· καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ
καὶ τὰ ἑξῆς· ἔστι δὲ καὶ χωρὶς τοῦ ἀπὸ κοινοῦ τὸ ἐν τούτοις σαφὲς ἐκ
φράσεως ἐκλαμβάνειν· οἷον γρηγορεῖτε ὅτι οὐκ οἴδατε τὴν ὥραν
ἢ τὴν ἡμέραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται· διατί; ὥσπερ γὰρ ἄνθρωπος
ἀποδημῶν, ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν
αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ γὰρ ὑποστιγμῆς μὲν κατὰ
τὴν ἀνάγνωσιν παραλαμβανομένης ἐν τῷ ἀποδημῶν· τελείας
δὲ ἐν τῷ αὐτοῦ, ἀμφοτέρως καὶ ὁμοίως καὶ ἡ τοῦ λόγου σύνταξις.
ἄνθρωπος μὲν οὖν ὡς οἰκοδεσπότης, ὁ Χριστός· ἀποδημία, ἡ εἰς τὸν οὐρανὸν
ἄνοδος μετὰ τὴν ἀνάστασιν· ὅτε καὶ παρέδωκε τοῖς μαθηταῖς
τὰ θεῖα μυστήρια· ἢ καθὸ ἀόρατος ἐστὶν ὡς θεός· ἀποδημίαν
ἤτοι ἀποδημίαν καλεῖ· τὴν αὐτοῦ μακροθυμίαν· δοῦλοι
αὐτοῦ, οἱ τῆς ἐκκλησίας μυσταγωγοί· ὑπάρχοντα δὲ αὐτοῦ,
οἱ ἐν ἑκάστῃ χώρᾳ λαοί· οὓς πιστεύεται τοῖς ἱερεῦσι· τάλαντον
δὲ ἐστι, τὸ διδασκαλικὸν χάρισμα· ὃ ἐπιστεύθησαν οἱ τῶν ἐκ-
κλησιῶν πρόεδροι· ἕκαστος κατὰ τὴν ἀναλογίαν τῆς πίστεως
αὐτοῦ· ἢ τοὶ δοῦλοι λέγονται· οἱ πιστεύοντες ἐμφόβως· καὶ
διὰ τὸ δουλεῦσαι θεῷ, ἱκανοὶ λοιπὸν πραγματεύσασθαι.
τὸ τάλαντον δέ, σημαίνον τελειότητα· δίδωσι ποιμέσι
τὰ ἁγνὰ αὐτοῦ λόγια· ἅ ἐστιν ἀργύριον πεπυρωμένον· οἱ δὲ
τὴν συνήθη ἑκάστου δύναμιν· τινὲς δὲ καὶ τὸν κοινὸν λόγον,
καθ' ὃν πάντες λογικοί ἐσμεν:-

Καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα· ᾧ δὲ δύο, ᾧ δὲ ἕν.

Ἀποδημίαν καλεῖ· τὸν τῆς ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναλήψεως θεολόγου
ὑπομονῆς ἄχρι τῆς αὐτοῦ παρουσίας καιρόν· ἐν ᾧ ἀπαιτῆ...

πού ποτε παροῖδεν. οἱ τὴν μετάνοιαν μόνον ποιησάμενοι δείκνυνται, ἀλλὰ καὶ ἔργων χρῄζουσιν· οἱ δὲ ἐνταῦθα πολιτευσάμενοι, οὐδὲ ἐν γνώσει ποτὲ γὰρ ὄμματος τοῦ νυμφίου:-

Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους· καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα· ᾧ δὲ δύο· ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν καὶ ἀπεδήμησεν εὐθέως· πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβών, εἰργάσατο ἐν αὐτοῖς καὶ ἐκέρδησεν ἄλλα πέντε τάλαντα· ὡσαύτως καὶ ὁ τὰ δύο· ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο· ὁ δὲ τὸ ἓν λαβών, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ· καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ· μετὰ δὲ χρόνον πολύν· ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων· καὶ συναίρει μετ' αὐτῶν λόγον· καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβών, προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων· κύριε πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς· ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός· ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβών, εἶπε· κύριε δύο τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς· ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός· ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφώς, εἶπε· κύριε ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος· θερίζων ὅπου οὐκ ἔσπειρας· καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθείς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν· ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· πονηρὲ δοῦλε καὶ ὀκνηρέ· ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα· καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ· ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον· καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα· τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος· καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ· καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων:-

καθ' ὃ λῆμμα αὐτὴν ποιήσας τὸ διπλοῦν, ἀδιαφορεῖ παρὰ θεῷ τοῦ ἐν πλείονι δυνάμει καθ' ἃ οἷός τε ἦν πεποιηκότος· ἐξ ὅλης τῆς καρδίας ἀγαπῶν τὸν θεόν, καὶ ὁ πλείονα καρδίαν καὶ ψυχὴν καὶ δύναμιν ἔχων· καὶ ὁ ὑποδεέστερος κατὰ ταῦτα·:

+ Ἐπὶ ὀλίγα ἦς πιστός. ὀλίγα, τὰ ἐν ταύτῃ ἐγχειρισθέντα· πολλὰ, τὰ μετὰ τὴν ἐνταῦθα ζωήν·:

Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν εἰληφὼς τάλαντον. τὰ τάλαντα θείων χαρισμάτων ἔχει σημασίαν. διδόασιν ὡς ὠφέλειαν τῶν πατρῶν. ὡς λόγος γνώσεως τοῖς διδασκάλοις· ἀργύριον δὲ τὸ δόκιμον τῇ λογικῇ γῇ· καὶ ἀργυροῦν τι καὶ καθαρὸν ἑπταπλασίως, τὰ λόγια κυρίου· ἡ διδασκαλία τῆς γνώσεως τῆς ἀληθείας. Τραπεζίτης ἐστίν, ὁ ἐπιτηδείως ἔχων δέξασθαι καὶ μεταδοῦναι· ἐν τούτῳ γὰρ αὐτοῦ ἡ ἐμπορία. τὸ μὲν οὖν δούλου ἐστὶ, τὸ μεταδοῦναι· δεσπότου δὲ, τὸ ἀπαιτῆσαι. ὅθεν καὶ οὐχ οἱ δοῦλοι πρὸς τὸν κύριον· ἀλλ' ἐκεῖνος ἔρχεται· ἵνα κρίνας, τὸ κατ' ἀξίαν ἀποδῷ·: ὡρ

Ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος. οὗτοί εἰσιν οἱ ἀργοὶ περὶ διδασκαλίαν· οἱ καὶ προβάλλονται πρὸς ἀπολογίαν ἑαυτῶν, τὸ ἀπειθὲς τῶν ἀκροατῶν· διὰ τὸ ἐμπεφορῆσθαι τούτοις παρὰ τοῦ θεοῦ τὸ ἀπειθές· ὡς ἐξ ἀνάγκης αὐτὸ ἔχειν καὶ οὐκ ἐκ προαιρέσεως. τοῦτο γὰρ δηλοῖ τὸ ὅθεν οὐκ ἔσπειρε θερίζειν. λέγοντες δὲ σκληρὸν τὸν δεσπότην, ἑαυτοῦ μᾶλλον κατηγορεῖν, ἀφρόνως οὕτως·: ἀμε

Σκληρόν φησι σὺ ὠνόμασας τὸ ἀπαιτῆσαί σου· τὸ ζητεῖν παρὰ ἀνθρώπων ὑπακοήν, οἷς οὐκ ἐνεποίησα διὰ τοῦ λόγου τὸ εὐήκοον. διὸ φοβηθεὶς μὴ ἀνάπρακτος γένωμαι, τὸ κατ' ἐμαυτὸν ἐφυλαξάμην· τὸ δὲ περιττὸν οὐκ ἐσπούδασα. ἢ οὕτως· τὰ παρ' ἑαυτοῦ λεγόμενα τίθησιν ὡς ἐν δείξει τῶν λόγων· ἤτοι καὶ τῶν λογισμῶν, οἷς ἔθος κεχρῆσθαι τινὰς λέγοντας· ὅτι οὐ χρεία μοι πόνων· οὐδὲ τοῦ ὑπὲρ ἑτέρων εὐθύνας ὑπέχειν· ὃ καὶ λόγος εἶναι τὸ θερίζειν ὅπου οὐκ ἔσπειρε. τοῦτο γάρ ἐστι τὸ παρ' ἄλλων λειτουργῶν εὐθύνας ἀπαιτεῖν τὸν κριτήν, τῆς ἑτέρων ῥᾳθυμίας. ὥσπερ οὐκ ἔστι τινὰ ἄθλους ἐκδέχεσθαι ἐν ἴσῳ μὴ γενομένου ἀγῶνος, οὕτως οὐκ ἔνι φησὶν ἐμὲ ὑπὲρ ἑτέρου εὐθύνας ἑτέρων ἀπαιτεῖν. διό φησιν, εἰ τοῦτο ᾔδεις, πολλῷ μᾶλλον ἔχρην σε τὰ οἰκεῖα ἐπιδείξασθαι· τὰ γὰρ τῶν ἑτέρων ὡς φῇς μέλ- +

ἡμῶν δοκεῖ. τὸ δὲ εὐθέως, τὸ ἀνυπέρθετον δηλοῖ τῆς σπουδῆς. ὅ-
πως δεῖ τὰ τοῦ θῦ ἐργάζεσθαι. πέντε δὲ καὶ δύο τάλαντα καὶ ἕν.
τῆς λειτουργίας τὴν διαφοράν. ἐπισκόπου οἷον [illegible]. πρε-
σβυτέρου. καὶ διακόνου. τῇ γὰρ ποσότητι τοῦ ταλάντου. τὸ
τῆς λειτουργίας πλεῖον ἢ ἔλαττον ἐμφαίνει. ὅθεν καὶ λόγος
[illegible] ἑκάστῳ κατὰ τὴν οἰκείαν δύναμιν. ἵνα εἴπῃ καθὸ ἕ-
καστον ἀναλόγως τοῖς χαρισθεῖσι δύνασθαι τὴν λειτουργί-
αν ἐκπληροῦν συνείδαμεν. βούλεται γὰρ δεῖξαι ὅτι καὶ τὴν προ-
θυμίαν παρ' αὐτῶν ἀπαιτεῖ. Καὶ ἀπεδήμησεν εὐθέως.

ῥῆ εὐ Καὶ ἐποίησεν ἄλλα πέντε. Διπλασιασμὸν οὖν τῶν δοθέντων
καλεῖ. τὸ ἐνδείξασθαι μετὰ σπουδῆς παρρησιάζοντα. Καὶ
ἄλλοις γενέσθαι ὠφελείας αἴτιον. ἀνθρώπων, μᾶλλον αὐτὸν τά-
ξασθαι μισθὸν φησὶν ἕκαστος. τοῦτο γάρ ἐστι τὸ ἐπὶ πολλῶν σε κατα-
στήσω. τὸ δὲ κατακρύψαι γῇ τό. τὸ μηδὲν ἐνδείξασθαι τῶν δοθέν-
των. ἀλλ' ἀφανῆ τὴν δοθεῖσαν αὐτῷ χάριν ἐργάσασθαι :-

π
ἀμι Εὐγνωμόνως οἱ προειρημένοι λειτουργοὶ [illegible]
δεξάμενοι καὶ πολλοὺς ὠφελήσαντες, προσήνεγκαν ἑαυτοὺς
τῷ Χῷ, ὡς διπλασιάσαντες τὸ δοθέν. ἐξ οὗ καὶ ἄλλους ἔσωσαν.
ὁ δὲ χώσας τὸ τάλαντον [illegible]. οἱ τῆς ἰδίας ὠφελείας μόνον γενό-
μενοι. καὶ παρακατασχόντες τὴν ἐγχειρισθεῖσαν αὐτοῖς
λειτουργίαν. οἱ τοῖς ἰδίοις μόνοις ἐνασχοληθέντες. Καὶ μηδὲν τῶν δε-
δομένων ἐνδειξάμενοι. ἀλλ' ἀφανῆ ποιήσαντες τὴν χάριν, τοῦ
ἔσχατα πείσονται. καὶ τὸν μὲν τὰ πέντε τάλαντα δι-
πλασιάσαντα. εἰς τὴν τῶν οὐρανῶν παραπέμπει βασιλείαν
τὴν πολλὴν χαρὰν ἔχουσαν. ὁμοίως δὲ καὶ τὸν τὰ δύο τά-
λαντα λαβόντα. τοῖς αὐτοῖς τιμᾷ διὰ τὴν προθυμίαν.
ὡς καὶ αὐτὸν, τὸ δοθὲν διπλασιάσαντα. ἀγαθοὺς δὲ καλεῖ.
διὰ τὴν πρὸς τὸν πλησίον ὠφέλειαν. διὰ δὲ τοῦ εἰπεῖν.
ἐπὶ πολλῶν. ἐσήμανε τῶν ἐσομένων χαρισμάτων τὸν πλοῦ-
[illegible]. οὗτοι γὰρ τῶν [illegible] ἀξιωθήσονται.
[illegible]. εἰ δὲ καὶ διάφορα τὰ χαρίσματα, ἀλ-
λ' ἴση ἡ τιμὴ [illegible] πρὸς τὸ μέτρον ἀναλόγως τῆς δοθείσης
αὐτῷ χάριτος. [illegible]. καὶ τὸν τὰ πέντε τάλαντα καὶ
τὸν τὰ δύο προσεργασάμενον [illegible]. Καὶ [illegible] τοῖς
τοῦ αὐτοῦ φέγγους. καὶ γὰρ καὶ ὁ [illegible] δύναμιν [illegible].

πραγματευταὶ δέ, οἱ ἀ[illegible]· οἱ τὰ μὲν καλὰ κατέχοντες δό-
γματα· τῶν δὲ φαύλων ἀπεχόμενοι· καὶ πάλιν φησί· τῷ γὰρ ἔχοντι
παντὶ δοθήσεται καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ
ὃ δοκεῖ ἔχειν· ἀρθήσεται ἀπ' αὐτοῦ· δοκοῦσι γὰρ ἔχειν τὸ δι-
δασκαλικὸν χάρισμα ἕως θανάτου, οἳ μὴ εἰς δέον τούτῳ χρή-
σαιντο· μετὰ δὲ ταῦτα, ἀφαιρεῖται ἀπ' αὐτῶν· σκότος δὲ ἐξώτερόν
φησιν· ἐν ᾧ γοῦν οὐδεὶς φωτισμός ἐστι· τάχα δέ, οὐδὲ σωματικοῦ
παρόντος δέ, οὐδὲ μιᾶς ἐπισκοπῆς θείου φωτός. ἔστι δὲ τὸ σκότος
[illegible] τῆς [illegible]· αὕτη δὲ ἔξω τοῦ κόσμου ὥσπερ τινές φασι· καὶ
τοῦτο οἱ [illegible], τοῦ παντὸς κόσμου [illegible] [illegible] αἰῶνα
ἐκείνην· οὐδενὸς φωτίζοντος τῶν ἔξω τῆς τοῦ παντὸς κόσμου
κατασκευῆς· μὴ θαύμαζε δέ, εἰ ἕνεκα τοῦ μὴ διδάξαι τὸν λόγον
τοιαῦτά τις πείσεσθαι· Παῦλος γὰρ λέγει· οὐαί μοι γάρ ἐστιν ἐὰν
μὴ εὐαγγελίζωμαι:

Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ· καὶ πάντες οἱ
ἅγιοι ἄγγελοι μετ' αὐτοῦ· τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ·
καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη·
καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων· ὥσπερ ὁ ποιμὴν ἀφο-
ρίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ στήσει τὰ μὲν
πρόβατα ἐκ δεξιῶν αὐτοῦ· τὰ δὲ ἐρίφια, ἐξ εὐωνύμων·
τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλο-
γημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ
ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα καὶ ἐποτίσατέ με·
ξένος ἤμην καὶ συνηγάγετέ με· γυμνὸς καὶ περιεβάλετέ
με· ἠσθένησα καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην καὶ
ἤλθετε πρός με· τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι
λέγοντες· κύριε πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν·
ἢ διψῶντα καὶ ἐποτίσαμεν· πότε δέ σε εἴδομεν ξένον
καὶ συνηγάγομεν· ἢ γυμνὸν καὶ περιεβάλομεν· πότε
δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρός σε·
καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν
ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐ-
λαχίστων, ἐμοὶ ἐποιήσατε· τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων·
πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον·

ἀπαιτεῖν· πολλῷ μᾶλλον οὐδὲ ἀπαιτήσει ἀπ' ἀνθρώπων οἱ καρπὸν ἀνθρώπους· καὶ τοῦ μαθητευομένου δὲ τὸν προσήκοντα καρπὸν ἀπὸ τῆς ἐργασίας τῆς σῆς· εἰ σὺ παρ' αὐτοῖς ἦλθες καὶ δέον ταῖς ὑποδείξεσι· δείκνυσι περὶ οὗ πάντα· ὅτι ἕτερον ὑπὲρ ἑτέρου ἀνθρώπους οὐκ ἀπαιτεῖ· ἀλλὰ παρὰ μὲν τῶν διδασκάλων, τὸν καρπόν· παρὰ δὲ τῶν μαθητευομένων, τὴν ὑπακοήν·

ἀπ΄ Ἀπεκρίθη δὲ ὁ κύριος αὐτοῦ· τουτέστιν ὁ κύριος· τὸ μὲν ἀπὸ στόματός σου τοῦτο ἀληθές, οὐ ποιῶ ὡς σὺ λέγεις· ἄλλον γὰρ ὑπὲρ ἄλλου οὐκ ἀπαιτῶ τὸν ἀνθρώπων· εἰ δὲ ὡς σὺ λέγεις τοιοῦτός εἰμι· ἔδει σε πολλῷ μᾶλλον ἀπαιτηθῆναι λόγον, ὧν σοι ἐνεχείρισα· ὅπερ οὐ πεποίηκας, ἀλλ' ἔχων καὶ τοὺς παραμαθητευθέντας, ἀπαιτῆσαι τοὺς καρποὺς ὧν ἐδιδάχθης· ἔδει οὖν σε τὸν ἐμὸν λόγον, δοῦναι τοῖς ἀκροαταῖς· καὶ οὐδὲν πρὸς σὲ εἰ καὶ μὴ ἐπείθοντο· ἐγὼ γὰρ ἐλθὼν, ἀπῄτουν τὸν τόκον· ἄρατε τοίνυν ἀπ' αὐτοῦ τὸ τάλαντον· καὶ δότε τῷ ἔχοντι τὰ δέκα· ἀπὸ γὰρ τῶν τοιούτων ἀφαιρεῖται ἡ τοῦ πνεύματος χάρις· καὶ ὁ τοῦ διδασκάλου μαθητής· καὶ δίδοται τῷ σπουδὴν πλείονα ποιησαμένῳ· ὁ λαβὼν γὰρ χάριν διδασκαλίας ὥστε ὠφελεῖν ἄλλους· καὶ μὴ κεχρημένος αὐτῇ· καὶ τὴν χάριν ἀπόλλυσι· ὁ δὲ πλείονα σπουδὴν ποιησάμενος, λαμβάνει καὶ πᾶσαν τὴν δωρεάν· ὁ δὲ ἀργὸς κολάζεται οὐχ ὅτι ἔπραξε κακά, ἀλλ' ὅτι οὐκ ἐποίησε καλόν· οὐ μόνον δὲ ὁ τὸ ἓν λαβὼν ἀπαιτεῖται ἐκτίσαι· ἀλλὰ καὶ ὁ τὰ πέντε λαβὼν καὶ ἀπαιτήσας· ἀλλὰ διὰ τοῦ ζητεῖν τοῦ θεοῦ σωτηρίαν κατέγνωκε τὴν ἀργίαν· ἐπειδὴ οἱ δίκαιοι· ἢ οἱ καὶ μικρὰς ποιοῦντες λειτουργίας, οὐ μόνον ἀπαιτοῦνται τὴν ἀρετὴν τὸν πλησίον ὠφελῆσαι· ἢ σὰ ἀμελοῦντες ἀθυμοῦνται· —

ἐρώ Πονηρὲ δοῦλε· πονηρὸς σὺ, ἐπειδὴ δῆλον μηδεὶς ἀπαγγείλας σὺ οὐδ' ἔχων ἀργυρίου τῶν διδομένων, ὥστε ἐξεῖσθαι αὐτῷ, τὰ θεῖα μυστήρια· ὀκνηρὸς δὲ, ἐπειδὴ ἐδειλίασεν ἐργάσασθαι· καὶ δῆλον· ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα· σπειρόμενον οὖν καὶ ἀναφερόμενον αὐτῷ, τὰ καλὰ καὶ ἀγαθά· καὶ ἀνασπείρει ὁ δίκαιος εἰς τὸ πνεῦμα· ἐκ τοῦ θερίζει ζωὴν αἰώνιον· θεοῦ δὲ κτήματα· πάλιν ὁ δίκαιος εἰς κόρον ποιήσει μὲν δοκεῖ τοῖς πένησι· ταῦτα δὲ συνάγει ὁ κύριος εἰς ἑαυτὸν λογιζόμενος· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν· τὰ εἰς τούτους μικροὺς γινόμενα εἰς ἑαυτοὺς συνάγων·

ἀπ΄ Ἔδει οὖν σε καταβαλεῖν τὸ ἀργύριόν μου· ἀργύρια τοίνυν τοῦ κυρίου εἰσὶ τὰ ἔχοντα τὴν βασιλικὴν τοῦ θεοῦ μορφὴν· καὶ τὴν ἀπόθεσιν τοῦ λόγου αὐτοῦ·

ἵνα τῶν μέν, τὸ ἄκαρπον δείξῃ· οὐδεὶς γὰρ παρ' ἐρίφων
καρπὸς γένοιτ' ἄν· τῶν δὲ τὴν πολλὴν πρόσοδον· καὶ γὰρ
πολλὴ ἡ τῶν προβάτων ἡ πρόσοδος· ἀπό τε τοῦ ἐρίου·
ἀπό τε τοῦ γάλακτος· ἀπό τε τῶν τικτομένων· ὧν ὁ ἔρι-
φος, ἔρημος· πάντα δὲ τὰ ἔθνη· τουτέστι πᾶσα ἡ
ἀνθρώπων φύσις· πρόβατον μέν ἐστιν, ὁ ἐξ ἴσου αὐλαδή· ὁ δὲ ἔριφος, ὁ ἐξ ἴσ
κακκή· ζητητέον δὲ εἰ τοὺς δικαίους ἐκ δεξιῶν ἔστησε· πῶς
πάλιν λέγει· δεῦτε κλ τὴν ἡτοιμασμένην βασιλείαν· καὶ εἰ ἡτοι-
μασμένη φησὶν ἡ βασιλεία, ποία χάρις αὐτῶν, ἵνα ἡτοιμασμένην
κληρονομήσωσιν· διότι οὐ χάριτι ἡτοιμασμένην κληρονομοῦσιν· ἀλ-
λ' ὅτι κληρονομεῖν ἔμελλον· διὰ τοῦτο ἡτοίμασε:

Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· προβάτους δὲ δικαίους
καλεῖ· ἵνα καταπρόσωπον πληγῶσιν οἱ ἄδικοι::

ηρῦτ

Ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν· τοῦτο δὲ ποιεῖ, ἀνθ'
ὧν εὐποιήσων τοὺς μαθητάς· οὓς καὶ ἀδελφοὺς καλεῖ· οἰκειοποιού-
μενος τὰς αὐτῶν ἀπορίας· ἐπείνασα γάρ φησι καὶ ἐθρέ-
ψατέ με· ἤτοι τὰς τούτων πᾶσαν ὁμοίως γενομένας ἀπορίας τῆς
συμπαθείας οἰκειοποιεῖται· καὶ τούτους καλεῖ ἀδελφοὺς
ὡς ὁμοίως ἐνταγέντας τῇ αὐτοῦ βασιλείᾳ· ἄλλως τε δέ, ὅτι τῆς
ἀγάπης ἧς οὐδὲν τῶν καλῶν ἐστὶν ἰσοστάσιον· ἀπαριθμῆ-
ται εἰ δή· ἐφ' οἷς ἑαυτῷ ἀναδέχεται τὴν εἰς τοὺς δεομένους
φιλανθρωπίαν· τοῖς γὰρ ἐλεήμοσιν ἀντιπάλαι πενύων ὤν,
ἐλθὼν τὸν ἔλεον· καὶ ταύτῃ γέραιρε μέλλων τῆς ἐκεῖθεν μακαριότητ(ος)
ταύτης ἀξιοῖ δέ φησι τοῖς ἀξίοις· τὸ δὲ τῆς ἀγάπης εἶναι φησὶ
τὸ ἀγαθόν· ὅπερ ἐστὶν αὐτὸς ὁ θεός· ἢ τῶν ὑφ' ἑτέρων ἁμαρτίας· ἢ τὴν
ἀγάπην δι' αὐτῆς ὁ ξύνδεσμος τῶν οἰκείων μερῶν διασωθῆναι, ἤτοι
κατορθωθῆναι, διαφθορόντος ἐκεῖ· συναπτέον τὸν λόγον· τῆς θεο-
λογίας τὸ πῦρ, ἀναφλέγουσα· ὅσων ἡ φύσις ἐκτήσατο· θρέψει
μὲν καὶ ποτίσει χριστόν· γυμνοῦνται καὶ διψῶνται τῶν πλεονεκτούντων σποριῶν·
τὸν πάντων ἄρχοντα· καὶ ἀσθενεῖ τε διὰ τῶν δεομένων, τοῖς λαμβάνουσιν αὐτ(οῦ)
διατρέφουσιν· συνάχορι δὲ ξενιτεύονται· ἐν δέοις δέ, γυμνητεύουσι
θεραπεύσει ἀσθενοῦντα· καὶ ἐν φυλακῇ, καθειργνύ, οὐ τοσοῦ-
τον· τόσος τοῦ ἐνεργεῖν σφοδρὸς ὁ πόθος· καὶ διὰ τὴν
τῶν καλῶν ἀπληστίαν, οὐ μέχρι τῶν φανερῶν ἵσταται·
οὐδὲ τὴν πόρρω ἔξω φιλοφροσύνην περιορίζει τὴν ἀγάπην

ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·
ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα καὶ
οὐκ ἐποτίσατέ με· ξένος ἤμην καὶ οὐ συνηγάγετέ με·
γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ·
καὶ οὐκ ἐπεσκέψασθέ με· τότε ἀποκριθήσονται καὶ αὐ-
τοὶ λέγοντες· κύριε πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα·
ἢ ξένον ἢ γυμνὸν· ἢ ἀσθενῆ· ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσα-
μέν σοι· τότε ἀποκριθήσεται αὐτοῖς λέγων· ἀμὴν
λέγω ὑμῖν· ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀ-
δελφῶν μου τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ
ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι,
εἰς ζωὴν αἰώνιον:

ἑρμ(ηνεία) Φανερῶς δὲ περὶ τῆς θεϊκῆς αὐτοῦ δόξης λέγει· μεθ' ἧς ἥξει δο-
ρυφορούμενος ὑπὸ ἀγγέλων ὡς βασιλεύς· οὐ τῆς ἀνθρωπότητος
ἔχων σμικρὰν μορφήν· ἀλλὰ τῇ θείᾳ δόξῃ καὶ ἀπροσίτῳ· καὶ καθίσει ἐπὶ
ὡς θεός· καὶ παρίστανται αὐτῷ, οἱ ἄγγελοι· λειτουργοῦντες ὡς δεσπότῃ·
πάντων δὲ τῶν ἀπ' αἰῶνος ἁμαρτόντων καὶ ἀναμὶξ ὄντων· ἀ-
φορίσας τοὺς ἁγίους ἐκ δεξιῶν, ἀποκαλεῖ αὐτοὺς ἀρνία· ἀ-
πὸ γὰρ τῆς φύσεως, προσηγόρευσεν ἕκαστον ὡς καὶ τὰ [illegible] δόξαν
κατ' ἀξίαν· προσήκοντα δὲ καλεῖ τοὺς ἁγίους, διὰ τὸ ἥμερον καὶ
τὸ ἔγκαρπον· τοὺς δὲ ἀσεβεῖς, ἐρίφους· διὰ τὸ πηδητικὸν
καὶ ἄκαρπον καὶ ἄτακτον· ἀμφοῖν δὲ μάρτυρον, ὡς πάντα εἰδώς·
αὐτὸς μάρτυς ὢν καὶ κριτής· οὐ κολάζει δὲ, ἕως ἂν πρότερον
δικαιώσῃ [illegible] καὶ εἴπῃ τὰ ἐγκλήματα· εὐλογημένους
δὲ καλεῖ τοὺς ἁγίους, ἀπὸ καταβολῆς κόσμου· τῆς ἀπὸ τῆς
[illegible] βασιλείας κοινωνοὺς ποιῶν· ἤτοι τῆς
ἰδίας δόξης· οὐ γὰρ εἶπε λάβετε· ἀλλὰ κληρονομήσατε ὡς
πατρῴαν οὐσίαν:

τέλ(ος) Τὸ, ἀπὸ καταβολῆς κόσμου· τὸ ἀφωρισμένον ἐκ προγνώ-
σεως δηλοῖ· ἔχει δὲ καὶ [illegible] ζητεῖ·

ἀρχ(ή) Καὶ ἀφορίζει αὐτούς· νῦν γὰρ ἀναμεμιγμένοι ζῶσιν οἱ πιστοὶ
ἢ δὲ διάφοροι· τότε ἔσται μετὰ ἀκριβείας ἀπόφασις·
Καὶ τότε ἀπὸ τῆς φύσεως αὐτοὺς διαιρεῖ καὶ ποιεῖ δήλ(ους)·
ἔπειτα καὶ ἀπὸ τῶν ὀνομάτων, τὸν ἑκάστου τρόπον ἐνδεί-
κνυται· τοὺς μὲν ἐρίφια καλῶν· τοὺς δὲ πρόβατα·

καὶ πῶς αἰώνιος; παραδοθήσονται πυρί, τῷ ἡτοιμασμένῳ τῷ
διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. αἰωνίως κολασθησομένους:

Τότε ἀποκριθήσονται αὐτῷ, οἱ δίκαιοι. διὸ καὶ ὡς ἀγνοοῦμεν
οὐδὲν ἑαυτοῖς συνειδότες ὡς τὸν κύριον ὑποδεξάμενοι· ἢ τὸν μηδὲν
τοιοῦτον ὑποδέχεσθαι τούτοις ποτέ· ἢ ταῖς τοιαύταις ὑπομένουσιν
φαύλοις μὴ ποιήσαντας τὰ αὐτὰ τοῖς ἀγαθοῖς, τῇ αὐτῇ κολάσει
τοῦ διαβόλου ὑποβάλλει. ὡς συνδραμόντας τῷ διαβόλῳ.
καλεῖ δὲ αὐτοὺς κατηραμένους ἀπὸ τοῦ πατρός· τοὺς γὰρ ἰδίοις αὐτῶν
ἔργοις, ποιήσαντας ἑαυτοὺς ἐπικαταράτους. πᾶσι μὲν γὰρ ἡτοίμασε τὴν
βασιλείαν, τῷ δὲ διαβόλῳ, πῦρ ἄσβεστον. οὗτοι δὲ ἑαυτοὺς ἀποστερήσαντες
τῆς βασιλείας, εἰς τὸ ἡτοιμασμένον πῦρ τοῦ διαβόλου ἐ-
κὸν τὸ ἀπαραίτητον. διότι πρότερον οὐ συνεπάθησαν κατὰ πάντα τοῖς ἐν-
δεέσιν. οὓς καὶ ἐλαχίστους καλεῖ. διὰ τὴν πενίαν:-

Ἄρα δὲ οἱ ἁμαρτωλοὶ μόνην τὴν ἐλεημοσύνην ἀπαιτηθήσονται;
ἢ καὶ τὴν εὐσέβειαν· προηγουμένως μὲν τὴν εὐσέβειαν· ἔπειτα δέ, καὶ
τὸ πρὸς ἀλλήλους φιλάνθρωπον· τριχῶς γάρ ἐστιν ἡ ἐλεημοσύνη· διὰ
ψυχῆς· διὰ σώματος· καὶ τῶν ἐκ τῶν ὑπαρχόντων.

Ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνί. ἀνωτέρω μὲν ἀδελφοὺς καλεῖ· ἐπειδὴ
ἀδελφοὺς ἐργάζεται τὸ βάπτισμα, καὶ ἡ τῶν μυστηρίων κοινωνία·
ἤτοι ἀδελφοὺς ἐλαχίστους ἀνωτέρω καλεῖ· τοὺς ἀποστόλους δηλονότι
παρ᾽ ὃ αὐτοῖς καθάπερ εἴρηται· οὐχ ὅτι ἀτελεῖς ἦσαν οἱ τῆς βασι-
λείας ἄξιοι. ἀλλ᾽ ὅτι ἐν τῇ ζωῇ αὐτῶν ἐπιγνωσθήσονται πᾶσιν.
ἄσημοί τε μὲν ἦσαν καὶ ἀτελεῖς. ὧδε δὲ ἐλαχίστων μόνον ἑτέρων,
ἐνδεεστέρους τοὺς πτωχούς. καὶ ἀδελφοὺς καλεῖ· οὓς καὶ οἱ κακοποιοὶ
ἢ ταῦτα διὰ τὸ τῆς αὐτῶν φύσεως μετοχήν. κρίνει γὰρ τοὺς ἁ-
μαρτάνοντας. οὐ μόνον ὅσα ἥμαρτον, ἀλλὰ καὶ ὅσα ὧν οὐκ ἐ-
ποίησαν καλῶν. εἰ δὲ καὶ μετ᾽ ἐπιεικείας φθέγγονται καὶ οἱ
ἄδικοι μηδὲν αὐτοῖς συνειδέναι τοιοῦτον· ἀλλ᾽ οὐδὲν ὄφελος·
ἐπεὶ πρότερον οὐκ ἐποίησαν· ἀχρεῖον οὖν τὸ ἐπιχείρημα τῆς ἀπολογίας·
διὸ οἱ τοιοῦτοι ἀπέρχονται εἰς αἰώνιον κόλασιν· οἱ δὲ δί-
καιοι, εἰς ζωὴν αἰώνιον· ὥσπερ γὰρ αἱ τῶν δικαίων τιμαὶ
ἀκατάλυτοι, οὕτω καὶ αἱ τῶν ἀδίκων τιμωρίαι, ἀπέραντοι:-

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους,
εἶπεν· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται.
Καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. τότε

ὡρ

διὰ τὴν φιλαλληλίαν· ἀλλὰ καὶ ἐνδοτέρω χωρήσας τοῦ φαινομένου· καὶ τῶν ψυχικῶν παθημάτων φροντίδα ποιήσασθαι· καὶ ἰατρεία ἡμῶν ἐστι τὴν περὶ σπουδήν· καὶ κατασκηνώσας μὲν εἰς τόπον χλόης, τοῖς λογικοῖς ἐκθρέψας βρώμασιν ἄρτι ... πρὸς ἐσθίειν· ἐπὶ δὲ ὕδατος ἀναπαύσεως αὐτοῖς διατριβῆς· καὶ τὸν μὲν ἐκ διακένωσιν ταύτης οἰκείας παρόδου καὶ αὐτὴ ξένης γῆς διατρίβοντας· αὐτὴ τὴν ἰδίαν ἀξίαν ἥτις ποτέ ἐστιν, ἀσμένως χορηγήσασθαι· ἀλλὰ καὶ ἄλλον ἀπογυμνωθέντα τῆς περὶ κοινῆς οὐσίας θεοῦ ἐστι· τῆς ἐ κατ' ἀπαρχὰς ἀφθαρσίας τὴν στολὴν ἐκδύσασθαι· ἐπενδύσας τῆς γυμνώσεως, ἐν διόδῳ πάλιν· τὸν κατὰ θεὸν καὶ μακάριον ἔσχηκεν ὑιόν· τὸν δὲ ἀσθενοῦντα τῇ πίστει· καὶ περὶ τὴν διάκρισιν τῶν πρακτέων μὴ σχολάζουσαν ἐπὶ τὴν διάνοιαν φέρονται, οὐ παραδραμεῖται· ἀλλ' αὐτὴ τὴν παντοθεν μὲν κοινὴν ὑγείαν· καὶ τὰ οἰκεῖα ὅμοια ἀναλαβέσθαι τοὺς λόγους τῆς ἀληθείας· ἐπὶ τούτοις, καὶ τὸν καθαιρεθέντα, ζόφος τῆς ἀγνοίας· ἰδεῖν δὲ τὸ φῶς τῆς γνώσεως καλῶς γνωσθὲν τοῦ σκοτεινοῦ χωρίου κατὰ τὴν διάνοιαν αὐτὴ ... · ὡς παρὰ διάγνωσις ἀγγέλου τοῦ φωτίζοντος τὴν διάνοιαν λόγου· ταύτης ἀγνοίας διαρρήξας δεσμά· ἐπὶ τὸ φῶς παραγαγεῖν κατὰ Χριστὸν ἐν ἀληθείᾳ πίστεως καὶ πολιτείας· τούτων τοιγαροῦν καὶ τῶν τοιούτων κατὰ τὸν ἑκάστου λόγον ἀπεργάζων· ὁ ... τῆς ἀγάπης τὴν ψυχὴν φευκτῶν ῥύεται· δι' ἃ ποθεῖ αὐτὴ δείξασθαι· καὶ γὰρ διασώζομεν τῶν κακῶν ἐκ ψυχῆς καὶ σώματος διπλοῦν καὶ τῆς ἐπὶ μείζονας προόδου· ἧς καὶ αὐτοὶ χρήζομεν πάντες· διὸ καὶ φιλανθρώπως ἀλλήλοις χρηστέον· ἵνα καὶ ἄλλους μᾶλλον ἑαυτοὺς εὐεργετῶμεν· τὸ γὰρ εὐεργετεῖν ἡμᾶς μᾶλλον ἑαυτοὺς παρὰ τοῦ ἀγαθοῦ ἀντιγινόμενον· ἐπὶ τὸν εὐεργετηθέντα μᾶλλον ἐν τοῖς πράγμασι· καὶ οὕτως ἐστὶ τὸ εὐεργετεῖσθαι, τὸ εὐεργετεῖν ἀντιποιεῖται· ὅτι οἱ μὲν διὰ τῆς αὐτοτελοῦς ἀγάπης τὸν ἐπὶ πολλοὺς ἑαυτῶν ἀναθαρροῦσι δι' ὅν τε· καὶ ἐν τῇ ἀγάπῃ τελειωθέντες, ἄθλον ἀρετῆς κομίζεται· διὰ τῆς ἐν πνεύματι φυσικῆς θεωρίας, τὴν ἀπαραγωγὸν γνῶσιν τῶν ὑπὸ χρόνον καὶ φύσιν· καὶ τὸν δὲ καὶ ὅρον ὑπὲρ χρόνον τελέσαντα τὸν ὑλικὸν καὶ ὁρατόν· τὸν εἰδικὸν τοῦ ἀναμνησθέντος αὐτὴ τῆς αἰσθήσεως, ὃ καλῶς διὰ τοῦ ὁρωμένου, τὸν μὴ ὁρώμενον· καὶ οὕτω τὴν κτίσιν αὐτὴ τὸν αὐτῆς αἴτιον δοξάζει κατὰ γνῶσιν αὐτοῦ τὴν διάνοιαν· οἱ δέ γε μὴ οὕτως πολιτευσάμενοι, ἀξίως τῆς κακίας ... θήσονται· κατὰ τὴν ἀλλήλων αὐτῶν ὁμοιότητα, καὶ μὴ ... [illegible]

ὅτι θεὸς ἦν. καὶ ἵνα μὴ ἐν ἐπισήμῳ καιρῷ γινομένου τοῦ πάθους
φανερὸν γένηται πᾶσι. πλὴν καὶ πρὸ τῆς ἑορτῆς κατα-
σχόντες αὐτόν. ἐπειδὴ εὗρον τὴν τοῦ Ἰούδα μανίαν.
οὐκ ἀνέθεντο αὐτὸν ἀνεῖλον. ἀλλὰ τῇ ἑξῆς. ὅπερ ὁ κύριος οἰκονομι-
κῶς συνεχώρησεν αὐτοῖς. πολλάκις θελήσαντες αὐτὸν σχεῖν
οὐκ ἠδυνήθησαν. ἐπειδὴ ἔδοξεν αὐτῷ παθεῖν, συνέσχον
αὐτόν. καίπερ συνθέμενοι ἀναβαλέσθαι τότε, διὰ τὸ μὴ ποι-
ῆσαι θόρυβον τῷ ὄχλῳ. ἐβουλεύσαντο οὖν πρὸ τῆς ἑορτῆς
φονεῦσαι αὐτόν. ὁ δὲ κύριος ἐν τῇ ἑορτῇ παθών, ἔδειξε κα-
[illegible]. καὶ ὅτι εἰ μὴ ἠθέλησεν, οὐκ ἔπαθε. διὸ καὶ
προλέγει. δεικνὺς ὅτι εἰδὼς ἔπαθεν, ὅτε ἠθέλησεν.

Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος
τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔ-
χουσα βαρυτίμου. καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἠγανά-
κτησαν λέγοντες. εἰς τί ἡ ἀπώλεια αὕτη. ἠδύνατο γὰρ
τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς.
γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. τί κόπους παρέχετε τῇ γυναι-
κί. ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. τοὺς πτωχοὺς
γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν. ἐμὲ δέ, οὐ πάντοτε
ἔχετε. βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός
μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. ἀμὴν λέγω ὑμῖν.
ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, ἐν ὅλῳ τῷ κόσμῳ
λαληθήσεται. καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον
αὐτῆς. τότε πορευθεὶς εἷς τῶν δώδεκα ὁ λεγόμενος
Ἰούδας Ἰσκαριώτης. πρὸς τοὺς ἀρχιερεῖς. εἶπε. τί θέ-
λετέ μοι δοῦναι. κἀγὼ ὑμῖν παραδώσω αὐτόν. οἱ δὲ ἔ-
στησαν αὐτῷ, τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε ἐζή-
τει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

+ Ὁ λεπρὸς θεωρεῖται ὡς ἐν ἀναγωγῇ. ὁ ἐκ τῶν ἐθνῶν. πρώην
καθαρισθείς. καταλύει Χριστός. γυνὴ δὲ ἡ ἁγία ἐκκλησία. τὸ
μύρον δέ, ἡ κατ᾽ εὐσέβειαν ἀρετή. ὅπερ ἐπὶ τὸν Χριστὸν ἐκ-
χέει. οὗ ἀληθινὴν κεφαλὴν διεκόσμησεν. ὁμοίως δὲ καὶ θεὸν
φύσει. καὶ υἱὸν θεοῦ κατὰ φύσιν ὁμολογοῦσα τὸν Χριστόν. καὶ ὡς
ὀσμὴν ἐκ καρδίας πανταχοῦ ταύτην περιφέρουσα τὴν ὁμολογίαν.

συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι
τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου
Καϊάφα· καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσω-
σι καὶ ἀποκτείνωσιν. ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ· ἵνα μὴ θό-
ρυβος γένηται ἐν τῷ λαῷ::

Μετὰ τὸ προσλαλῆσαι τὸν σωτῆρα Χριστὸν πάντα τὰ μέλλοντα γίνεσ-
θαι ἐν τῷ ὄρει τῶν ἐλαιῶν πρὸ δύο ἡμερῶν τοῦ πάσχα· ἅτινα
ἐσόμενα μαθόντες ἐν ὑστέρῳ προτέροις οἱ τῆς ἀληθείας ἀλλότριοι
γενόμενοι ἀνετράποντο, αὐτίκα καὶ τοῦ σωτηριώδους πάθους
τὴν ἀπόδειξιν ποιεῖται αὐτοῖς ἐν αὐτῷ, τῷ, ὄρει· ὅθεν λα-
θραίως τὸν Ἰούδαν κατὰ πάντα τῷ ἀπληρώτῳ τῆς τοῦ δια-
βόλου ἐνεργείας. οἰχόμενος πρὸς τοὺς ἡγουμένους τῶν ἰουδαίων·
καὶ τῆς φιλαργυρίας τὸν ἰὸν ἀποθέμενος, συντάττεται πρὸ
τῆς τοῦ πάσχα ἑορτῆς παραδοῦναι αὐτόν· ὅθεν [illegible]
[illegible] ἀπρέπαντος, ἐδόκει λανθάνειν τὸν γινώσκοντα τί ἦν
ἐν τῷ ἀνθρώπῳ· ἀλλ' οὐ μὴν ὡς εἰδὼς παρ' αὐτοῦ καὶ τὸν χρόνον τῆς προ-
δοσίας τὸν ἔλεγχον ἐποίει κοινὸν ὁμοῦ γυμνόν· ἀλλὰ κρύπτων
τοῖς λοιποῖς μαθηταῖς ἑαυτοῦ τὸν πάλιν ἐν αὐτοῖς εἶναι·
μαθητῶν ὁ προδότης καὶ δολιώτατος ἔφασκε· ποῦ θέλεις ἑτοι-
μάσομέν σοι φαγεῖν τὸ πάσχα::

ὡρ Πρὸ δύο ἡμερῶν τοῦ πάσχα ἡ βουλή· διὸ καὶ τὴν τετάρτην ἐν τῇ ἑ-
βδομάδι νηστεύομεν· ὡς τοῦ πάθους ἀρχὴν τοῦ κατὰ τὴν ἐκ τῶν
ὧν πεπλεχθέντος· ἰστέον δὲ καὶ τὴν προφητείαν πληρωθῆναι·
τὴν ἐν τῷ νόμῳ κυρίου διατυπώσει ἐν ᾗ τὸ πάσχα ἐθύετο· μηνὶ
πρώτῳ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ· ἐν τούτῳ γὰρ τῷ μηνὶ καὶ
ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ τὸ ἀληθινὸν πάσχα ἔδει τυθῆναι:-

ἀρχ Τότε συνήχθησαν οἱ ἀρχιερεῖς· τοῦ νόμου κελεύοντος ἕνα
ἀρχιερέα εἶναι, πολλοὺς ἐποίουν αὐτοί· καλοῦσι δὲ εἶναι τοῦ
λαοῦ εἶναι ἀρχιερεῖς· καὶ οὐχὶ τοῦ θεοῦ· μαθητῶν καὶ παρὰ ἀδί-
κου φόνου ἐκαυχῶντο· οὐ διὰ τὴν ἑορτὴν δὲ ἤθελον αὐτὸν μὴ κα-
τὰ τὴν ἑορτὴν φονεῦσαι· ἵνα μὴ μιανθῶσιν· ἀλλὰ διὰ τὸν ὄ-
χλον. ἐδεδίεσαν γὰρ μήποτε μείζονος ἡμέρας φόβου·
διὰ τὸν ἀνόσιον φόνον, ἀμέλλουσιν αὐτοῖς· ἢ ὅτι οὐ μὴ προ-
σέχωσι τῆς κατὰ νόμον θυσίας· ἰδόντες τῶν ἱερέων τὸ
μιαιφόνον περὶ τὸν Ἰησοῦν. οὐ γὰρ ἐγὼ τὸν ἄγαν εἶναι εἰ καὶ μὴ ἐν ταῦ

ῆμαι· καὶ μίαν μὲν, περὶ ἧς ἀνέγραψε Ματθαῖος καὶ Μάρκος ἐν πολλοῖς ἄλλοις συνᾴδοντες τῆς εὐαγγελικῆς γραφῆς· ἑτέραν δὲ, περὶ ἧς ὁ Λουκᾶς· διαφόρους δὲ εἶναι τῶν προειρημένων, περὶ ἧς ὁ Ἰωάννης· εἰ γὰρ καὶ ἐν Βηθανίᾳ μίαν ἀνέγραψάν τοι κατ' αὐτὴν γυναῖκα γενομένην Ματθαῖος καὶ Μάρκος· ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ διηγήσαντο ταῦτα, πρὸ τούτων ἀπηντηκέναι· Ἰωάννης δέ φησιν· ὅτι πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα· ἦλθεν ὁ ἰς εἰς Βηθανίαν· ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς ὃν ἤγειρεν ἐκ νεκρῶν καὶ τὰ ἑξῆς:·

Δεῖ εἰδέναι ὅτι τρεῖς φαίνονται γυναῖκες παρὰ τοῖς εὐαγγελισταῖς ἀλείψασαι τὸν κν μύρῳ· καὶ αἱ τρεῖς ἀπὸ πολλῆς πίστεως καὶ διαπύρου πόθου· πρώτη, ἡ παρὰ τῷ Λουκᾷ· καὶ δευτέρα, ἡ παρὰ τῷ Ἰωάννῃ· καὶ τρίτη, ἡ παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ· οὐ τοιγὰρ οἱ δύο, τῆς αὐτῆς μνημονεύουσιν· ἀλλ' ἡ μὲν παρὰ τῷ Ἰωάννῃ, ὀνομαστὶ ἐγνωρίζετο· αἱ δὲ ἄλλαι δύο, τὸ μὴ καὶ ἐγνωσμένον ἐτύγχανον· καὶ ἡ μὲν ἐν τῇ οἰκίᾳ τῆς ἰδίας ἀδελφῆς Μάρθας ἐξέχεε τὸ μύρον· τῶν δὲ, ἡ μὲν, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ· ἡ δὲ ἐν οἰκίᾳ τοῦ Φαρισαίου· καὶ ἡ μὲν εὐχαριστήριον τῆς ἐγέρσεως αὐτοῦ τοῦ ἀδελφοῦ Λαζάρου ἐξέχεε τὸ μύρον· τούτων δὲ ἑκατέρα ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων· καὶ ἐξ ἀλλήλων δέ ἐστιν ἰδεῖν τὴν διαφορὰν τῶν τριῶν· ἡ μὲν γὰρ, πρὸ ἓξ ἡμερῶν τοῦ νομικοῦ πάσχα, προσῆλθε τῷ ἰῦ· ἡ δὲ πρὸ δύο ἡμερῶν· ἡ δὲ ἔμπροσθεν πολλῷ χρόνῳ ὡς ἐκ τῶν παρὰ τῷ Λουκᾷ· καὶ ἡ μὲν πρὸ ἕξ· τοὺς πόδας ἀλείφει μὴ κλαίουσα· ἀφροσύνης γὰρ καὶ ἀνεργησίας τετελεσμένης· τὸ γενόμενον χαριστήριον ἦν· ἡ δὲ πρὸ δύο ἡμερῶν, οὐ κλαίουσα δὲ, οὐδ' αὐτὴ τῇ ζεούσῃ πίστει καὶ τῷ πολλῷ πόθῳ· ὅλη ἀναφλεχθεῖσα· ἀπὸ πολλῆς δὲ τῆς προθυμίας καὶ δὴ καὶ τῆς περὶ τὸν δεσπότην εὐλαβείας, οὐδὲ ἀλείφειν καὶ ἐφάπτεσθαι τοῦ δεσποτικοῦ σώματος ἐπιχειρεῖ· ἀλλ' ὅλον ἀθρόον συντρίψασα τὸ ἀλάβαστρον· ἐπιχέει τῇ δεσποτικῇ κεφαλῇ· ἡ μέντοι παρὰ τῷ Λουκᾷ· τοὺς πόδας ἀλείφει μύρῳ δάκρυσι μίξασα τὸ μύρον· καὶ αὕτη μὲν, ταῖς θριξὶν ἐξέμαξε τοὺς πόδας· τοῖς δὲ ποτικοῖς· ὡς καὶ ἡ τοῦ Λαζάρου ἀδελφή· ἡ δὲ τὸ ἀλάβαστρον συντρίψασα καὶ ἐπιχέουσα τῇ κεφαλῇ, οὐδὲ προσήψατο ὡς ἔφην·

φω

τὸ κατὰ μύρον ἐπὶ τῆς κεφαλῆς κατέχεεν· ὁ δ' αὐτῇ ἐπιτιμῶν ὁ ἰούδας
ὡς ἰω(άννης) φ(ησί)ν· τύπον ἔχων τῶν ἰουδαίων τῶν διὰ φιλοχρημα-
τίαν μὴ ὁμολογούντων θ(εὸ)ν τὸν χ(ριστὸ)ν· ἀλλὰ διαβαλλόντων τὴν ἐκκλη(σίαν)·
οἷς ἐπιτιμᾷ ὁ χ(ριστὸ)ς· ὡς ἀνοσίως ἐγκαλοῦσι τῇ ὀρθῇ τῆς κ(αθολικῆς) ἐκκλη(σίας)
πίστει· καὶ ἀποδέχεται αὐτῆς τὴν πίστιν· προαναφωνεῖ
δὲ καὶ τὴν εἰς τὰ ἔθνη ἔξοδον τῶν μαθητῶν· τῶν κηρυξάντων
πανταχοῦ ὃ ἐποίησεν ἡ γυνὴ ἐν τῇ οἰκίᾳ τοῦ λεπροῦ· ὅπερ
θείᾳ δυνάμει ἐξηχήθη πανταχοῦ.

Προσῆλθεν αὐτῷ, γυνὴ ἀλάβαστρον ἔχουσα μύρου. ἀκολουθ[illegible]
[illegible] τοῦ συγγράψαντος· μὴ εἰπὼν τὸ ὄνομα τῆς γυναικός. ἣν δὲ μα-
ρίαν ἡ ἀδελφὴ λαζάρου· ὡς ὁ ἰω(άννης) φ(ησί)ν. αἱ δὲ ἀλείψασαι τὸν κ(ύριο)ν μύρ(ῳ)
γυναῖκες, τρεῖς εἰσί· μία ἡ ἀδελφὴ λαζάρου ἐν βηθανίᾳ ἐν
τῷ οἴκῳ αὐτῆς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα· κατὰ δὲ τὸν ματθαῖον
καὶ μάρκον, πρὸ δύο ἡμερῶν τοῦ πάσχα ἐν οἰκίᾳ σίμωνος
τοῦ λεπροῦ· κατέχεε τὸ μύρον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ·
ἤτοι δύο μὲν αὐτὰς λέγομεν· μίαν μέν, τὴν τοῦ λαζάρου· τὴν
δὲ ἑτέραν, ἁμαρτωλὸν γυναῖκα· τὴν πρὸ τοῦ πάθους αὐτὸν ἀ-
λείψασαν· ὕστερον δὲ ἐν μαρ[illegible]ον γενομένην· καὶ πάλιν· ἄλλην
αὖ τὴν πρὸ δύο ἡμερῶν τοῦ πάσχα ἀλείψασαν τοὺς πόδας αὐτοῦ·
ὁ δὲ λουκᾶς, πρὸ πολλῶν ἡμερῶν τοῦ πάσχα ἐν οἰκίᾳ σίμωνος
τοῦ φαρισαίου, γυναῖκα λέγει ἁμαρτωλὸν ἐλθοῦσαν, ἀλεῖψαι
τοῦ κ(υρίο)υ τοὺς πόδας· ὅτι μὲν οὖν ὁ ματθαῖος καὶ ὁ μάρκος ἐν οἰ-
κίᾳ σίμωνος τοῦ λεπροῦ λέγουσι τὸν κ(ύριο)ν ἀνακεῖσθαι· λουκᾶς δὲ ἐν οἰκίᾳ
τοῦ φαρισαίου, οὐ τοῦτο διαφωνίαν ἔχει· οἱ μὲν γὰρ τοῦ ὀνόματος
τὴν προσηγορίαν τ[illegible] ἀνεγράψαντο· ὁ δὲ τῆς τοῦ ἔθνους
τῶν ἰουδαίων αἱρέσεως ἐπωνυμίαν· φαρισαῖος γὰρ ἦν ὁ σίμων
ὁ λεπρός· ὁ καὶ τοῦ λαζάρου πατήρ· οὐ τοσοῦτον λεπρὸς ἦν·
ἀλλά ποτε· ἐθεράπευσε δὲ αὐτόν, καθαρίσας ὁ κ(ύριο)ς· ὃς καὶ
τοὺς μαθητὰς αὐτοῦ δεξάμενος ἐν τῷ οἴκῳ· καὶ δείξας τὸ ἀμό[illegible]
[illegible]· ἠρώτα ὅπως παρ' αὐτῷ ἑορτάσῃ ὁ κ(ύριο)ς ποιῆσαι
τὸ πάσχα· οἱ οὖν τρεῖς εὐαγγελισταὶ μίαν δοκοῦσι σημαίνειν
γυναῖκα· ὁ δὲ ἰω(άννης), ἄλλην τὴν μαθήτριαν, ἣν καὶ μαρίαν
καλεῖ, καὶ τοῦ λαζάρου ἀδελφήν:

ἐπ(ι)
ὠρι:
Π[illegible]μέν, ἄν ποιεῖ τις τέσσαρας φῆσαι γυναῖκας περὶ ὧν ἀν-
έγραψαν οἱ εὐαγγελισταί· ἐγὼ δὲ μᾶλλον προστίθημι, τὰς τρεῖς αὐτ(άς)

κατεφίλει τοὺς πόδας τοὺς δεσποτικούς· τῶν δὲ λοιπῶν
δύο· οὐδὲ μία· αἱ μὲν οἶμαι μὴ τολμῶσαι· ἀλλ᾽ ἴσως δι᾽ εὐ
λαβείας χαλινωθεῖσαι· ἡ δὲ ἐκνικηθεῖσα τῷ πόθῳ· καὶ
ταῖς τῶν δακρύων ῥοαῖς ἔβρεχε τοὺς πόδας, κατὰ μικρὸν
προσεράσθαι ἐρήσασα ῥοαῖς.

Καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ὡς ἀνθρώπῳ προσῆλθε θεῷ·
χριστῷ ἡ γυνή· οὐ κάθαρσιν ζητοῦσα σώματος· ἀλλ᾽ ἀρτυχ· τὸ δὲ
τιμιώτατον τοῦ σώματος· τὴν κεφαλήν· προσήγαγε τὸ μύρον·
εἰδὼς δὲ τῆς γυναικὸς τὴν διάθεσιν ὁ Κ(ύριο)ς, ἠνείχετο αὐτῆς
τοῦτο ποιούσης, δεικνὺς τὴν μεγαλοψυχίαν αὐτῆς· πολλοῦ γὰρ
ἦν ἄξιον τὸ μύρον· καὶ τοὺς μαθητὰς ἐπιστομίζει, ἵνα μὴ
ἐξαποσρηθῇ ἡ γυνή· οἱ γὰρ μαθηταὶ τῶν περὶ ἐλεημοσύνης
ἀντιποιούμενοι λόγων, ἐπετίμων τῇ γυναικί, ὡς μᾶλλον
τοῦτο ζητοῦντος τοῦ θεοῦ· ἢ τὰς σαρκικὰς προσαγωγάς.
μέμφεται δὲ τοῖς μαθηταῖς ἐπιπλήξασι τῇ γυναικί. καὶ
διδάσκει ἐκ τούτου αἰνίγματος δοὺς· μὴ τὰς ἁπλᾶς λαλεῖν
τοῖς ἄρτι προσιοῦσι καὶ λίαν γυναιξὶν ἀσθενέσιν· ἀλλ᾽ ὅπερ
ἄν τις ποιῇ ἐκ πίστεως, συγχωρεῖν τὴν ἀρχήν· ἐπεὶ καὶ ὁ ἀ
κριβὴς καὶ ἁπλῶς οὐκ ἂν ἐχάλασε λόγος· ὅμως ἔδει τὸ χυ
θῆναι τὸ μύρον· οὐ καιρὸν εἶχεν ἡ ἐλεημοσύνη· ἢ ὥσ
τε ἐκ τῆς ἐπιπλήξεως προσχηματιζόμενον χρυσῆς φιλοπτω
χίας, οὐ μὴν τῆς ἀληθοῦς· δεῖ δὲ καὶ τὸν θεὸν, πάντων προ
τιμότερον ἡγεῖσθαι· καὶ μὴ προφάσει τῶν πτωχῶν,
τὴν δι᾽ αὐτὸν παράταξιν ποιεῖσθαι τὸν θεόν· διδάσκει δὲ, ὅτι κα
ταύτην καθ᾽ ἀνάμνησιν ἐποίησε τοῦτο ἡ γυνή· προαναστυ
πώσασα τὸν θάνατον αὐτοῦ. Καὶ τὴν τοῦ σώματος ταφήν·
οὐ γὰρ ἂν ἠνείχετο ὁ Χριστὸς μύροις καταχρίεσθαι· ἀλλὰ μυ
στήριόν τι ἐδήλου· ὡς δὲ θεὸς προεῖπε τὸ ἐσόμενον· ὅτι
ὡς καὶ χάρισμα αὐτῆς μέλλει λαλεῖσθαι πανταχοῦ ὃ ἐποί
ησεν ἔργον· ἀμείβεται αὐτήν· ἐπεὶ συνεῖναι αὐτῷ, ἐπεθύ
μει, ἐποίησεν αὐτῆς τὴν μνήμην ἅμα ἔσεσθαι ἐν τῷ εὐαγ
γελίῳ· καὶ ποθοῦσαν τὴν παρ᾽ αὐτὸν εἶναι τοῦ συνεῖναι
τῷ κατ᾽ αὐτὸν διηγήματι, ἠξίωκεν.

Ἰδόντες δὲ οἱ μαθηταὶ ἠγανάκτησαν λέγοντες· δείκνυ
ται ἡ γυνὴ μετὰ πολλῆς καὶ ἀφθόνου πίστεως προσιοῦσα τῷ Χ(ριστ)ῷ.

ἐτόλμησε. Καὶ ἐπὶ μὲν τῇ Λαζάρου ἀδελφῇ, ὁ Ἰούδας μόνος
ἠγανάκτει καὶ διεγόγγυζεν· ἐπὶ δὲ τῇ συντριψάσῃ τὸν ἀ-
λάβαστρον, καὶ οἱ λοιποὶ μαθηταί· ἐπὶ δὲ τῇ παρὰ τῷ Λουκᾷ·
οὐδεὶς μὲν τῶν μαθητῶν· ὁ δὲ ὑποδεξάμενος ἐς τὴν οἰκίαν φα-
ρισαῖος· ὃν ἔδει μᾶλλον χαίρειν καὶ πλέον καταρτίζεσθαι
τῇ ὁσίᾳ· ὅτι εἰσφέροντας ἐξ ἁμαρτιῶν δῶρα, αὐτὸς
μόνος ἐσκανδαλίζετο· καὶ ταύτῃ μὲν εἴρηται, ἀφέωνταί σοι
αἱ ἁμαρτίαι σου· καὶ ἡ πίστις σου σέσωκέ σε· καὶ πορεύου εἰς
εἰρήνην. τῇ δὲ συντριψάσῃ τὸν ἀλάβαστρον εἴρηται, ὅτι ὅπου
ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ καὶ ὃ ἐποίησεν
αὕτη λαληθήσεται· καὶ τὰ ἑξῆς· οὐχὶ ὡς ἀποστερῶν θατέραν·
τῆς μισθαποδοσίας θατέρας· καὶ γὰρ ἑκατέρα, τῶν ἁ-
μαρτιῶν τὴν ἄφεσιν εὕρατο· καὶ διὰ τῆς πράξεως, ἐν ὅλῳ
τῷ κόσμῳ κηρύττεται καὶ μακαρίζεται τούτων ὁμοίως ἑκατέρα·
ἀλλ' ἑκατέρᾳ τούτων τὸ μᾶλλον ἁρμόζον πρὸς παραμυθίαν ἠ-
ρεθῆναι, τοῦ ζητουμένου· καὶ γὰρ ἐκείνῃ μὲν ἐπετίμων οἱ ἀπόστολοι
ὡς παραχρησαμένῃ καὶ κακὸν ἐργασαμένῃ· Καὶ ταύ-
της δὲ διεγόγγυζεν ὁ φαρισαῖος, ὡς ἁμαρτωλοῦ· διὸ
ταύτῃ μὲν, μισθὸς ἐρρέθη ἡ ἄφεσις τῶν ἁμαρτιῶν· ἐκείνῃ
δὲ μισθὸς ἀνεκηρύχθη· τὸ εἰς πάντας ἐξηχηθῆναι τὴν πρᾶξιν·
καὶ παρὰ πάντων μακαρισθῆναι· τῇ μέντοι γε ἀδελφῇ
τοῦ Λαζάρου· οὐδὲν τοιοῦτον ὑπεσχέθη· ἐπειδὴ οὐδὲ ἐ-
κείνη ὑπὸ προσδοκωμένης τινὸς ἐργασίας προσήνεγκε τὸ
μύρον· ἀλλ' ὑπὲρ δώρων ἐπὶ τῇ ἐγέρσει τοῦ ἀδελφοῦ ἀνηνέγκα-
το· ἄλλως τε δέ, αἱ μὲν ἀτελεῖς ἦσαν καὶ τῷ φορτίῳ τῶν ἁ-
μαρτιῶν ἐναρμόζοντο· ἐδέοντο οὖν παραψυχῆς τινος καὶ
πληροφορίας· ὅτι προσεδέχθη τὸ δῶρον· καὶ ὅτι τεύξονται
τῆς ἐλπίδος· διὸ καὶ ὁ δεσπότης καταλλήλως καὶ ἐ-
κείνας αὐτάς, τὰς εὐαγγελίας ἐποιήσατο· ἡ δὲ τελειοτέρα
ὑπῆρχε· καὶ τοῦ καινοῦ καὶ παραδόξου θαύματος
ἐπὶ τῷ ἀδελφῷ, θεατὴς ἦν· καὶ οὐκ ἐδεῖτο τοσαύτης πα-
ραμυθίας· κρείττων γὰρ αὐτῇ ὑπῆρχε πάντων, ἡ τοῦ δεσπότου
εὐαγγελία· ὅτι ὁ πιστεύων εἰς ἐμέ, ζωὴν αἰώνιον κληρονο-
μήσει· ἔστι δὲ, καὶ ἄλλη ἐν [illegible] ταῖς μακαρίαις γυναιξὶ
διαφορά· ὅτι ἡ μὲν τὸ μύρον τοῖς δάκρυσι μίξασα·

ἀλλ᾽ ὅτι κλέπτης ἦν· καὶ τὰ ἑξῆς· πῶς γὰρ ἔμελλεν αὐτῷ
τῶν πτωχῶν· τῷ καταφρονητῇ τῶν διδασκαλικῶν λόγων καὶ
ἐντολῶν· ἐξ ὧν καὶ ἡ περὶ τῶν πτωχῶν ἤρτηται καὶ ἄλλων φροντίς·
ἀγανακτοῦσι μὲν οὖν ὡς ἔφην κοινῶς οἱ μαθηταί· οὐχὶ πάν-
τες δὲ ὡσαύτως· οὐδ᾽ ἀπὸ τῆς αὐτῆς καὶ ὁμοίας διανοίας· ἀλλ᾽ οἱ
μὲν ἄλλοι ἐλεημοσύνης τε πολλῶν ἐρῶντες λόγον· καὶ μηδὲ ἐ-
ναντία λέγειν δεδοικότες τῆς τοῦ δεσπότου γνώμης· ἐπεὶ δὲ γυ-
ναῖκα καὶ ἐπιτιμᾶν κατεγνωσμένην τολμῶσι· διὸ οὐδὲ φαίνονται
ἐνοχλήσαντες· παρὰ τὴν παραπλήσιον αὐτῇ ποιήσασαν
μαρίαν τὴν τοῦ λαζάρου ἀδελφήν· ἐπ᾽ εὐλαβείᾳ καὶ βίου σε-
μνότητι μαρτυρουμένην· ὁ δὲ ἰούδας φλεγόμενον ἔχων ἀεὶ
τὸ τῆς φιλαργυρίας πάθος πανταχοῦ· ἀγανακτεῖ ἀποστερού-
μενος τοῦ κέρδους· διὸ καὶ ὁ δεσπότης πρὸς τὴν ἐκείνων τε καὶ
τούτου διάνοιαν ἀφορῶν· διὰ ἑκατέρας αἰτίας ἀξιοῖ μὴ
δεῖν ἐπιτιμᾶν τῇ γυναικί· μίαν μέν, ὅτι καλὸν ἔργον ἐποίησεν·
ὃ τοῖς ἀγνώμοσι τῶν μαθητῶν ἐξήρκει μόνη ἡ τοῦ διδασκάλου
μαρτυρία· ἑτέραν δέ, ὅτι εἰς τὸν ἐνταφιασμὸν τοῦτο ἐποίησεν·
ὃ πρὸς ἄντικρυς κατὰ τὸν ἰούδαν ἀποτείνεται· οἷον σὺ ταύτην ἐπιτιμᾷς
τῇ γυναικί· καὶ ἐλεημοσύνης προσποιῇ φροντίζειν· ὁ ἐς θά-
νατον τρέχων τὸν ἐμόν, ὁ κατὰ τοῦ εὐεργέτου φονῶν· ἀνάξιαν
ταύτην κρίνεις μύρον μοι ἐπιχέειν· ὁ τελείως φανῶ καὶ τὸν τάφον
καὶ τὰ ἐντάφια φαντάζομαι καὶ διαμελετῶν, ἐμβὰς πτωχοῖς μὴ ἔχοντ
ἡ κεφαλὴ τοῦ [illegible] πράσκ· οἱ κτ γὰρ ἄλλοι [illegible] διδάσκαλον προδιδόντος· [illegible] δὲ αὐτὸ [illegible]
τοῦ λαζάρου ἀδελφῆς ἔλεγε πρὸς αὐτόν· ὁ τολμηρῶς ὁμοῦ αὐθαδείᾳ
χρώμενος· καὶ καταφρονήσας τοῦ διδασκάλου· καὶ πάθει
φιλαργυρίας ἔφασκε· διατί μὴ ἐπράθη τοῦτο τὸ μύρον
καὶ ἐδόθη πτωχοῖς. καὶ γὰρ καὶ ἰωάννης φησίν, ἄφες αὐτήν· εἰς
τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. διὰ τού-
των αὐτὸν ἀνακόπτων τῆς ἐγχειρήσεως καὶ πονηρᾶς προ-
αιρέσεως· καὶ πρὸ ὀφθαλμῶν λέγων ἃ ἐμελέτα καὶ ἔμελλε πράτ-
τειν· ἀλλ᾽ οὐδὲν ὀνίνησι τυφλὴν φιλαργυρίᾳ καὶ ἀπονοίᾳ συν-
απογνώσει καταποθεῖσαν· καὶ τὸ τοὺς πτωχοὺς δὲ πάν-
τοτε ἔχετε μεθ᾽ ἑαυτῶν· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε τῆς αὐτῆς ἐννοί-
ας ἐξήρτηται· τί φησι τοὺς πτωχοὺς προφασίζῃ, ἢ ἐμὲ ὀλίγον συν-
διατιθέντα χρόνον· καὶ ταχὺ ἀφανίζεσθαι μέλλοντα· οὐ παρ

ἔκ τε τοῦ παρρησιασμένως αὐτῷ προσελθεῖν· καὶ ἐκ τοῦ μύρον προσενεγκεῖν·
καὶ ἐκ τοῦ ὑπὲρ ἁμαρτιῶν προσελθεῖν· καὶ ἐκ τοῦ ἐλπίζειν
τῆς ἀφέσεως τυχεῖν· καὶ οὐχ ὡς ἄνθρωπόν τινα ψιλόν, ἀλλ' ὡς κρείττονα
πολλῷ τῆς ἀνθρωπίνης φύσεως ἡγησαμένη. Καὶ ταύτην
τὴν διάθεσιν ὁ καρδιογνώστης θεὸς ἰδὼν ἀπώσαιτο; καὶ ἀνέχεται
τὸ προσαχθέν τι μύρον τὴν κεφαλὴν ἐπιχεθῆναι· καὶ ἀποδέχεται
ἐκ τηλικαύτης διαθέσεως προσελθοῦσαν τὴν γυναῖκα
τὴν πρᾶξιν· καλὸν γάρ φησιν ἔργον ἐποίησεν· ἀντὶ τοῦ καλῆς
καὶ θαυμασίας αὐτὸ γνώμης διειργάσατο· ἔχουσα τὰ παραδείγματα·
τήν τε ἀγάπην ἣν ἐπεδείξαντο οἱ δίκαιοι τῷ θεῷ· καὶ τὰ προσφερόμενα
ἐν ταῖς θυσίαις σὺν ἐλαίῳ τῷ θεῷ. ἀλλ' ὁ μὲν δεσπότης
ὡς πάντων εἰδώς, οὕτω καὶ τῆς γυναικὸς ἀπεδέξατο τὴν
πρᾶξιν· οἱ δὲ μαθηταὶ τὸ φαινόμενον μόνον ὁρῶντες ὡς ἄνθρωποι τὴν
τοῦ μύρου κένωσιν, ἐπετίμων τὸ γινόμενον. οὐχ ἁπλῶς
δέ· ἀλλ' ὡς τὴν τῶν πενήτων αὐτὸ πρόνοιαν φάσκοντες· ἐχρῆν
διαπραθῆναι καὶ δοθῆναι· τοῦτο γὰρ ἦσαν μεμαθηκότες ὑ-
πὸ τοῦ διδασκάλου περισπούδαστον ὑπάρχον θεῷ τὴν
περὶ τοὺς δεομένους ἐλεημοσύνην· ἔλεον γάρ φησι θέλω καὶ
οὐ θυσίαν· καὶ ὅτι τοῖς ἐλεήσασιν, ὡς κληρονομίαν ἡτοιμασμέ-
νην τὴν οὐράνιον βασιλείαν, εὐηγγελίσατο ἀκηκοότες· καὶ μυρία ἄλλα·
οὕτω φρονοῦντες δὲ οἱ μαθηταὶ ὁμοίως ἀγανακτοῦντες λέγουσιν· εἰς
τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου καὶ τὰ ἑξῆς. ἀλλ' οἱ μὲν ἄλλοι, φρον-
τίδι καὶ προκρίσει ἐλεημοσύνης. ὁ δὲ Ἰούδας, προσ-
χήματι μέν, τὴν ἐλεημοσύνην ποιεῖται· ἔργῳ δὲ φιλαρ-
γυρίας τὴν ἀγανάκτησιν ἐπεδείκνυτο. τοῦτο γὰρ καὶ ὁ Ἰω-
άννης ἐδήλωσε παραπλησίαν πρᾶξιν ἣν ἡ τοῦ Λαζάρου ἀδελφὴ
Μαρία ἐποίησε· ἑστιωμένου τοῦ δεσπότου ἐν τῇ οἰκίᾳ Μάρθας·
καὶ αὐτῆς, τοῦ Λαζάρου οὔσης ἀδελφῆς. καὶ γὰρ καὶ τότε
ἡ Μαρία μύρον ἐκένωσε περὶ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ οἱ μὲν
ἄλλοι μαθηταὶ οὐδὲν φαίνονται ἐρωτῶντες· ἐπειδὴ μὴ προ-
χειροῦντες μηδὲ παρρησιάζεσθαι τοῖς τοιούτοις ἐπιτιμᾶν·
ὁ δὲ ἀναίσχυντος Ἰούδας καὶ ἐκείνης τῆς πράξεως
τὴν αὐτὴν ῥήξας ὁρᾶται φωνήν. διατί γάρ φησι τοῦτο τὸ
μύρον οὐκ ἐπράθη καὶ ἐδόθη πτωχοῖς· διὸ ἐπισημαίνων ὁ εὐαγ-
γελιστής· εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελλεν αὐτῷ·

ἡ ἀφέλεια τοῦ μύρου ὅτι κηρύσσεται. διὸ καὶ ὁ δεσπότης
πρὸς τὴν διάνοιαν αὐτῶν ἀποφαίνεται· φησίν· εἰς τὸν
ἐνταφιασμόν μου τοῦτο ἐποίησε. μονονουχὶ λέγων· ὅτι
ἐξὸν ὑμῖν λογίζεσθε, ὅτι οὐκ ἔδει ἐμὲ χεθῆναί μοι τὸ μύρον·
ὀλίγῳ ὕστερον ἀποθνῄσκοντος καὶ πρὸς θάνατον ἑτοιμαζομένου,
ἐκ τούτου μᾶλλον ἔδει τὴν γυναῖκα ἐπαίνοις στεφανοῦν.
εἰς γὰρ τὸν ἐνταφιασμόν μου τοῦτο ἐποίησε. καὶ πρὸς
μὲν τοὺς ἄλλους μαθητάς, οὕτως ἁρμόσειεν εἰρῆσθαι ὁ λόγος
ὁ δεσποτικός· πρὸς δὲ τὸν Ἰούδαν, ὡς προείρηται. πρὸ
γάρ τοι τὴν τῶν λογισμῶν διαφορὰν τῶν τὴν ἀξίαν κατὰ τὸ
ἐνδεικνύμενος, ἀξίως ἂν καὶ τὸν δεσπότην ταῖς ἐκ κατορθώσεων
τιμαῖς θαυμάζοντα τὸν λόγον εἰρηκέναι. καὶ τοὺς ἀκού-
σαντας, πρὸς τὸ οἰκεῖον ἕκαστον συνειδός, τὴν ἀπόφασιν
δεῖ ἐκληφέναι.–

ξϛ Τῇ δὲ πρώτῃ τῶν ἀζύμων· προσῆλθον οἱ μαθηταὶ
τῷ Ἰησοῦ λέγοντες αὐτῷ, ποῦ θέλεις ἑτοιμάσομέν σοι φαγεῖν τὸ
πάσχα· ὁ δὲ εἶπεν· ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν
δεῖνα καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει·
ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ
τῶν μαθητῶν μου. καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς
συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς· καὶ ἡτοίμασαν τὸ πάσχα.
ὀψίας δὲ γενομένης· ἀνέκειτο μετὰ τῶν δώδεκα
μαθητῶν· καὶ ἐσθιόντων αὐτῶν, εἶπεν· ἀμὴν λέγω
ὑμῖν· ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπού-
μενοι σφόδρα· ἤρξαντο λέγειν αὐτῷ, ἕκαστος αὐτῶν·
μήτι ἐγώ εἰμι κύριε· ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ὁ ἐμβά-
ψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παρα-
δώσει· ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου, ὑπάγει καθὼς γέγρα-
πται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς
τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεν-
νήθη ὁ ἄνθρωπος ἐκεῖνος· ἀποκριθεὶς δὲ Ἰούδας ὁ παρα-
διδοὺς αὐτόν, εἶπε· μήτι ἐγώ εἰμι ῥαββί; λέγει αὐτῷ·
σὺ εἶπας:–

ἑρμ:

Ἡ μὲν μέλλουσα νὺξ τῆς παρεληλυθούσης ἐστὶν ἡμέρας· ἐν δὲ ταῖς
ἑορταῖς, ἀφ' ἑσπέρας ἄρχεται ἡ ἡμέρα +.

καὶ φορτικὸν ἡγήσω· ὥσπερ καὶ ἐγὼ θάνατον προδίδομαι
καίτοι μυρίων ἀπολαύσας ἀγαθῶν· ἐγώ σοι καὶ τὰ σὰ δεισ-
κεμοῦ· καὶ μαθὼν ὅλον σωμαμαρέφεσθαι τὸν υἱὸν ἀνάγκη.
ποῦ τοίνυν οὐ ἁμαρτάνοντας οἶσθα καὶ ἐλέγξαι προθυμηθείης; Διατί
δὲ ἐπὶ μὲν τῆς προτέρας οὐδεὶς τῶν μαθητῶν, οὐδὲ ὁ Ἰούδας
ἀγανακτεῖ· ἐπὶ δὲ τῆς τοῦ Λαζάρου, μόνος ὁ Ἰούδας· ἐπὶ δὲ τῆς
λοιπῆς, πάντες οἱ μαθηταί· ἐπὶ μὲν τῆς προτέρας, διὰ τοῦτο
οὐδεὶς τῶν μαθητῶν οὐδὲ ὁ Ἰούδας ἀγανακτεῖ, ὅτι ὁ μὲν Ἰούδας
οὔπω ἦν εἰσοικίσας τὸν σατανᾶν· οἱ δὲ ἄλλοι μαθηταὶ διὰ
τοῦτο οὐκ ἀγανακτοῦσιν, ὅτι οὔπω ἦσαν τοῖς περὶ ἐλεημο-
σύνης λόγοις οὕτω σφόδρα ἐπιστηριζόμενοι ἔχοντες τὴν διά-
νοιαν· οὐδ᾽ οὕτως αὐτοῖς ἐκ τῶν περὶ τῶν πενήτων ἦν ἡ [illegible]
φροντίς· ἐπεὶ δὲ καὶ τὴν γυναῖκα ἐκχέουσαν ἑώρων· καὶ οὐ-
δὲ τῇ κεφαλῇ ἐπιχέουσαν τὸ μύρον, ἀλλ᾽ αὐτοῖς ποσίν· ἐπὶ
πάντα, ἵνα μὴ ἦν αὐτοῖς ἀπαγγέλλειν τῆς ἀγανακτήσεως
ἄλλως τε δέ, εἰ καὶ ἔμελλόν τι τοιοῦτον ποιεῖν, προεπε-
σχέθησαν· προλαβὼν γὰρ ὁ Φαρισαῖος διεγόγγυσε· καὶ
μηδὲ δικαίου ἐπεστομίσθη τοῦ ἐλέγχου· ἐπὶ δὲ τῆς τοῦ Λαζάρου
ἀδελφῆς, οὐκ ἀγανακτοῦσιν· ἅτε τῆς εὐλαβείας ἐπι-
χόμενοι τῆς γυναικός. καὶ ἀπὸ τοῦ εὐ[illegible] θαυμάζω
καὶ ὅτι καὶ αὕτη οὐ τὴν κεφαλήν, ἀλλὰ τοὺς πόδας ἤλει-
φεν. ὁ μέντοι γε Ἰούδας ἀγανακτεῖ· ἢ διὰ κάτοχος τῆς
φιλαργυρίας γενόμενος· καὶ τοῖς τῆς προδοσίας λογισμοῖς
πολιορκούμενος. ἐπὶ μέντοι τῆς τρίτης, ἅπαντες μὲν ἀγα-
νακτοῦσιν· οὐ κατὰ τῆς αὐτῆς δὲ γνώμης καὶ διαθέσεως·
ἀλλ᾽ ὁ μὲν Ἰούδας, ὡς ἄνω προειρήκαμεν, ἀπὸ φιλαργυρί-
ας καὶ ἀπονοίας· καὶ τῆς πρὸς τὸν διδάσκαλον [illegible]·
οἱ δὲ ἄλλοι, ἀπὸ ἐλεημοσύνης καὶ φιλοπτωχίας· καὶ
τῆς περὶ τὸν διδάσκαλον τιμῆς καὶ εὐλαβείας. οὐ γὰρ
ἀπεικὸς ἐνόμιζον ποιεῖν· μὴ ἀνεχόμενοι γυναῖκα ἁμαρτωλ-
ὴν τῆς ἀχράντου κεφαλῆς ἐκείνης· εἰ καὶ μύρον ἦν τὸ κε-
νούμενον· καταχέαι τοῦτο. ἡμᾶς δὲ ἀξιῶ, καὶ τοῦτο δια-
λογίσασθαι· ὅτι εἰ ὁ διδάσκαλος πάντων μὲν ὀλιγωρεῖ·
πρὸς δὲ ζῶν θάνατον ἐπείγεται· καὶ γὰρ συνεχῶς τοῦτο αὐτὸ
ἐπιλέγων· [illegible] τὸ ἀποθανεῖν ἔτι μάλα καιρός

ἀμνοῦ· τοῦ γὰρ νομικοῦ τούτου καὶ τοῦ μὴ γεύσασθαι ὡς ἔφθημεν, ὅρα
οἷον ἀληθινὸν πάσχα μετὰ τὸ δεῖπνον ἤδη διατίθεται :·
Ἀνέκειτο μετὰ τῶν δώδεκα. ἡμεῖς μέντοι μᾶλλον λέγομεν τοῦ
πάσχα δεῖπνον δὲ ἦν· καὶ οὐ τὸ τοῦ πάσχα ἱερόθυτον. οὐδὲ
γὰρ ἦν σχῆμα τῶν τὸ πάσχα ἐσθιόντων· ἀλλ᾽ ἀνακείμενοι τὸ δ-
ειπνοποιοῦντες. καὶ ὁ Ἰωάννης δὲ δεῖπνον εἴρηκεν· οὐδὲ μίαν μνήμην
τοῦ πάσχα ποιησάμενος λέγων· πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα·
εἰδὼς ὁ Ἰησοῦς ὅτι ἦλθεν αὐτοῦ ἡ ὥρα· ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τού-
του πρὸς τὸν πατέρα· ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ
εἰς τέλος ἠγάπησεν αὐτούς. Καὶ τὸ ἑξῆς· πρὸ τῆς ἑορτῆς τοῦ
πάσχα λέγει· οὐκ ἐν τῇ ἑορτῇ τοῦ πάσχα· ὥστε καὶ τὴν πρώτην
τῶν ἀζύμων, οἱ κακῶς ἐδέξαντο, τὴν πρὸ τῶν ἀζύμων νομί-
σαντες :·　　　Ἐκ τούτου φασί τινες ὅτι ἐν τῷ
ἐνιαυτῷ ἐκείνῳ οὐκ ἔφαγε τὸν ἀμνὸν ὁ Κύριος· οὐδὲ γὰρ ἐξῆν
αὐτοῖς φαγεῖν, ζητουμένοις· ἔθος δὲ αὐτοῖς μετὰ τὸ φαγεῖν
τὸ ἰουδαϊκὸν πάσχα, ἀνακλιθῆναι. ἐσθιόντων οὖν αὐτῶν, φησί,
διελέγετο τοῦ προδότου ὁ Κύριος· καὶ δίδωσιν αὐτῷ μετανοίας ἀφορμήν.
οὐκ εἶπεν ὁ δεῖνα με παραδώσει· ἠβουλήσατο γὰρ πάντας
φοβῆσαι· ἵνα ἀσφαλεστέρους ποιήσῃ. Καὶ οὐκ ἐλέγχει τὸν Ἰού-
δαν· προαναγγέλλει δὲ τοῖς μαθηταῖς τὰ περὶ τοῦ Ἰούδα· ἵνα γνῶσιν
ὅτι ἑκὼν ἔπαθεν· καὶ ἵνα γνῷ ὁ Ἰούδας ὅτι ἤδει ὁ Χριστὸς ὃ
ἔμελλε ποιεῖν. οἱ δὲ λοιποὶ μαθηταὶ καὶ καθαρὸν ἔχοντες τὸ
συνειδός· ἀλλ᾽ οὖν ἐκείνῳ μᾶλλον ἢ ἑαυτοῖς πιστεύοντες,
ἠγωνίων· ᾔδεισαν γὰρ ὅτι ἀδύνατον ἦν ψεύσασθαι τὸν Χριστόν. Διὸ
καὶ ἠρώτων. τί οὖν ὁ Χριστός; λύων πάντων τὸν φόβον καὶ διορ-
θούμενος τὸν Ἰούδαν· πρότερον μέν, διὰ σημείων μη-
νύει τὸν προδότην· ἐπειδὴ δὲ ἀδιορίστως ἐλέγχεται, οὐκ ἔ-
φερε μὲν ἐπαχθῶς, ἐλέγχει αὐτὸν φανερῶς· καὶ τὸ ἐναντίον τρέ-
πον τὴν αἰτίαν· ἔπειτα ὁ ἐμβάψας μετ᾽ ἐμοῦ· ἔπειτα σημαίνων ἀ-
ληθῆ· ἔπειτα φησὶν ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέ-
γραπται· τουτέστιν εἰ καὶ προώριστο παθεῖν τὸν Χριστὸν
καθὼς αἱ γραφαί· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ
ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται. οὐ γὰρ ὡς συνεργῶν τῇ τοῦ
Θεοῦ βουλῇ τοῦτο ἔπραξε. διὸ καὶ ταλανίζει αὐτόν· ἵνα
μή τις οἰηθῇ καὶ ἀνεύθυνον εἶναι· ἐξ ὧν δὲ ἀπειλεῖ τῷ προ-

ηέ
ἀπολ

ις
ἀλλ

Πρώτην τῶν ἀζύμων φησὶ, τὴν πρὸ τῶν ἀζύμων· εἰώ-
θασι γὰρ Ἰουδαῖοι, ἀπὸ τῆς ἑσπέρας ἀριθμεῖν τὴν ἡμέραν.
καὶ ταύτης μνημονεύει, καθ' ἣν ἐν τῇ ἑσπέρᾳ ἐθύετο τὸ
πρόβατον εἰς τὸ πάσχα· πρὸ ἑσπέρας θυομένων τῶν ἀζύμ-
ων ἄρτων· τῇ γὰρ πέμπτῃ τοῦ σαββάτου προσῆλθον. καὶ ταῦτα
ὁ μὲν πρώτην τῶν ἀζύμων καλεῖ· ὁ δὲ, ἦλθε δὲ ἡ ἡμέρα τῶν
ἀζύμων· ἀντὶ τοῦ, ἐγγὺς ἦν ἐπὶ θύραις· τὸν καιρὸν λέγων. καὶ
ἰδοὺ προσῆλθον οἱ μαθηταὶ λέγοντες αὐτῷ, ποῦ θέλεις ἑτοιμά-
σωμέν σοι φαγεῖν τὸ πάσχα· τοῦτο δὲ ἔλεγον. ἐπειδὴ δηλονότι οὔτε αὐτὸς
οὔτε οἱ μαθηταὶ εἶχον ἐπὶ τῇ διαμονῇ οἶκον· πέμπει ὁ Κύριος πρὸς ἀγνῶ-
τα ἄνθρωπον πέμπει αὐτούς· ὡς καὶ ἐπὶ τῆς ὄνου· δεικνὺς ὅτι ἠ-
δύνατο τῇ ἀρρήτῳ αὐτοῦ δυνάμει, ἀπὸ ψιλῶν ῥημάτων πειθαναγκάζειν
δέξασθαι αὐτόν· μὴ λογισαμένους τὴν τῶν Ἰουδαίων ἔχθραν· φησὶ μὲν δὲ προσκαλεῖσθαι
πρὸς αὐτόν· εἶναι ὁ μὲν ἀγγελίας· πρὸς ὃν ποιῶ τὸ πάσχα· ἵνα πάσχω κατὰ τὸ ἀποδεῖξαι· καὶ τοῖς Ἰουδαίοις
ὅτι οὐκ ἄκων ἔρχεται ἐπὶ τὸ πάθος. ἐσήμανε δὲ, ὅτι καὶ αὐτὸς
ἑκὼν ὁ μέλλων σφαγιάζεσθαι· οὐ γὰρ μόνον τὸ Ἰουδαϊκὸν ἔμελ-
λεν ἐπιτελεῖσθαι πάσχα· ἀλλὰ καὶ τὸ οἰκεῖον καὶ σωτήριον. καὶ
δεικνὺς διὰ τούτου, ὅτι οὐκ ἔστιν ἐναντίος πρὸς τὸν νόμον· ἄλλως τε
πρὸς τὸν δεῖνα· οὐ δηλοῖ ὀνομαστὶ δικαίως· ἀλλὰ τὸ πλησίον δηλοῖ
τῶν φίλων· ἁρμόζει γὰρ καὶ ἐπὶ τῶν τοῦ φίλου ὁ λόγος· ὃς προθύμως
μὲν δέχεται τοὺς μαθητὰς τοῦ Κυρίου· ἀγγελίας ἀποφέρων· πρ-
οσμαχίζοντας αὐτοῦ τὴν τύχην· ἢ θύοντος καὶ φίλον τὸν Χριστὸν ὡς
οὐ κλητός· ἀλλ' αὐτόματος ἐξ ἑαυτοῦ φιλοτιμίᾳ· οἶκον παρέχειν ὡς
παρὰ τὸ ὁρατὸ φίλον καὶ πιστὸν μαθητήν· τοῦτο γὰρ δηλοῖ ὁ ἄνθρωπος· ὁ τὸ κερά-
μιον τοῦ ὕδατος βαστάζων· ὥς φησι Μάρκος καὶ Λουκᾶς:—

ὠρι Πρὸς τὸν δεῖνα, τὸν τυχόντα· ὁ ... ζήτει· τινὲς δέ φασιν οὕτως
αὐτὸν λέγεσθαι:—

τ βο Ὀψίας δὲ γενομένης· ἡ ἑσπέρα σημαινομένη λέγει· τοῦ μὲν παλαιοῦ
πάσχα, τὸ τέλος· τοῦ δὲ νέου, ἡ ἀρχή· ἡ ἑορτὴ γὰρ ἦν τῶν νέων·

+ Ὀψίας δὲ γενομένης ὡς ἡτοίμασαν οἱ μαθηταί, καθὼς συνέταξεν
ὁ Κύριος, εἰς κηδεμονίαν· ὅπως ἐκεῖ τοῦ ἀληθινοῦ πάσχα γεύσηται· ἑ-
ορτάσας τὸ τυπικόν, τουτέστι τὸ σφαγιαζόμενον πρόβατον· ὅπερ
αὐτὸς ὁ ἐνανθρωπήσας προδιετύπωσεν ἐν Αἰγύπτῳ διὰ Μω-
ϋσέως ἐπειδὴ διαμένουσιν, τελεῖν τὸ πάσχα Κυρίου· ἀντὶ τοῦ αἵματος,
αὐτοῖς τὸ πάθος τῆς ἰδίας σαρκὸς αὐτοῦ· διὰ τῆς σφαγῆς τοῦ

εἰς ἄφεσιν ἁμαρτιῶν. λέγω γὰρ ὑμῖν· ὅτι οὐ μὴ πίω ἀπ' ἄρ-
τι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου· ἕως τῆς ἡμέρας
ἐκείνης· ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βα-
σιλείᾳ τοῦ πατρός μου. Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς
τὸ ὄρος τῶν ἐλαιῶν:

Μετὰ τὸ ἐξελθεῖν τὸν Ἰούδαν, παρέδωκεν ὁ Κύριος τοῖς ἕνδεκα, ἀμή
τὸ μυστήριον· ὡς μέλλων λοιπὸν παθεῖν. τινὲς δέ φασιν,
ὅτι καὶ ὁ Ἰούδας μετέσχε τῶν μυστικῶν· καὶ οὐδὲ οὕτως
μετεμελήθη. διὰ οὖν τοῦ λαβεῖν τὸν ἄρτον καὶ εὐχαριστῆσαι, δι-
δάσκει τοὺς μαθητὰς εὐχαριστεῖν, ἐφ' οἷς ἐδωρήσατο διὰ τοῦ ἰδίου
πάθους. διὸ καὶ τὰ σύμβολα γίνεται· σώματος ἔχοντα μνή-
μην καὶ αἵματος. διὸ ἑαυτὸν παρεδίδου, ἐπὶ τὸ πάθος ἐρχό-
μενος. καὶ γὰρ ὁ τοῦ ἄρτου μετέχων, τοῦ σώματος τοῦ Κυρίου με-
ταλαμβάνει. οὐ γὰρ προσέχομεν τῇ φύσει τῶν αἰσθητῶν
προκειμένων· ἀλλ' ἀνάγομεν τῇ ψυχῇ, διαβαίνοντες, ἐπὶ τὸ τοῦ
λόγου σῶμα. οὐ γὰρ εἶπε τοῦτό ἐστι σύμβολον· ἀλλὰ τοῦτό
μού ἐστι τὸ σῶμα· δείκνυσι Κύριος· ἵνα μή τις νομίσῃ τύπον εἶναι
τὰ φαινόμενα· ἀλλὰ διά τινος ἀρρήτου ἐνεργείας τοῦ παντο-
ϊσχύοντος Θεοῦ, μεταποιεῖσθαι κατὰ τὸ ἀληθές, εἰς σῶμα καὶ
αἷμα Χριστοῦ· τὰ προσενηνεγμένα. ὧν μετασχόντες, τὴν ζωοποιὸν
καὶ ἁγιαστικὴν δύναμιν τοῦ Χριστοῦ εἰσδεχόμεθα. εἰ γὰρ μὴ σώματι
συνήφθη καὶ αἵματι ἡνώθη ἡ θεία δύναμις, οὐκ ἂν ἔσχομεν
μετουσίαν διὰ τῆς προσθήκης· ἐντεῦθεν δὲ λαμβάνει φράσαι· τὴν
αἰτίαν διδάσκει τοῦ πάθους· ὅτι ἕνεκεν τοῦ λῦσαι τὴν ἁ-
μαρτίαν τοῦ κόσμου, ἔπαθεν:—

Μετὰ τὸ ἐξελθεῖν τὸν Ἰούδαν, παραδίδωσιν ὁ σωτὴρ τοῖς ἕνδεκα Κυρίλλ
τὸ σωτηριῶδες μυστήριον· ἐπειδὴ μικρὸν ὕστερον, ἔμελλεν
ὁ σωτὴρ ἀναστάς, μετὰ τῆς ἰδίας σαρκὸς· ἀναφοιτῆσαι πρὸς
τὸν πατέρα· ἵνα καὶ τὴν τοῦ σώματος αὐτοῦ παρουσίαν ἔχωμεν·
ἄνευ γὰρ τῆς παρουσίας τοῦ Χριστοῦ, ἀδύνατον σωθῆναι ἡμᾶς
καὶ ἀπαλλαγῆναι θανάτου καὶ ἁμαρτίας. μηνύων γὰρ ὡς
ἡμῖν τῆς ζωῆς· ἐδωκεν οὖν ἡμῖν τὸ ἴδιον σῶμά τε καὶ αἷμα·
ἵνα δι' αὐτῶν καὶ τὸ τῆς φθορᾶς καταλύηται κράτος. ἐνοικί-
ζηται δὲ ταῖς ἡμετέραις ψυχαῖς διὰ τοῦ ἁγίου πνεύματος. καὶ γενώ-
μεθα ἁγιασμοῦ μέτοχοι. καὶ οὐ ψιλοὶ ἄνθρωποι. καὶ

δότι. δείκνυσιν ἀθέλκτηρ ἑαυτοῦ, τὸ πάθος ὑπάρχ(ει). εἰ καὶ θέλει τὸν αὐτὸν ἐπαινέσαντο διὰ τὸ ἐκ τοῦ πάθους ἀγαθόν. Καλὸν γάρ φησιν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη· πολὺ γὰρ συμφορώτερον ἦν ἡ ἀνυπαρξία, μᾶλλον τοῦ τηλικοῦτον ἐργάσασθαι κακόν. Καὶ διὰ τοῦτο ἐπιμεληθῆναι [illegible]:·

στεῶ ρ΄ Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου, ὑπάγει καθὼς γέγραπται· ἐξ αὐτῶν τῶν πραγμάτων, ἔγνωμεν ὅτι δημιουργός ἐστιν ἡμετέρας φύσεως ὁ Χ(ριστό)ς· ὥσπερ γὰρ τὸν Ἀδὰμ πλάσας· καὶ θέμενος ἐν παραδείσῳ τρυφῆς· καὶ ὁμιλίας τῆς αὐτοῦ μεταδοὺς· τὸ φυτὸν ζωῆς οὐκ ἐκώλυσεν ἀπὸ τῆς προαιρέσεως· ἀλλ' ἐκώλυσε παραβάντα τὴν ἐντολήν, οὕτω καὶ τὸν Ἰούδαν· διδασκαλίας ἀξιώσας καὶ συναναλύσεως τῆς ἐν τῷ δείπνῳ, ἣν ἔμελλεν ἑκουσίως πρὸς προδοσίαν μεταποιήσαντος ὑπομνήσεις· καὶ φιλικὸν αὐτὸν ἀσπασάμενος ἀσπασμόν. δηλοῖ διὰ τούτου σαφῶς, ὡς τὴν μείζονα ἀξίαν ἔχοντα ἀνθρωπότητα, τὸν ὑπὲρ αὐτῆς ἀνεδέξατο θαύμαζε:

Οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ· οὐδὲ τοῦτο ὡς ἐχθρὸς καὶ ἀμυνόμενος λέγει· οὐδὲ ὥς τι μαντικῶς· ἀλλ' ὡς συμπαθητικῶς, ὥσπερ ἐπὶ τεθνεῶτι μόνος διαλεγόμενος· ἠλέει γὰρ αὐτόν:·

ἀπο χ ηʹ Καλὸν ἦν αὐτῷ· τὸ δὲ καλὸν εἶναι μὴ γεγεννῆσθαι· πρὸς τὴν κόλασιν εἴρηται· κακῆς γὰρ ὑπάρξεως ἡ ἀνυπαρξία αἱρετωτέρα:-

Ἀποκριθεὶς δὲ Ἰούδας.

Τότε τοίνυν Ἰούδας μὴ αὐτὸν πρῶτον καὶ δεύτερον ἔλεγχον ἀναιδευόμενος, ἐρωτᾷ· ἐνόμιζε γὰρ ὅτι ἔλαθε τὸν Κ(ύριο)ν· ἐν τῷ εἰπεῖν μόνον ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. τί οὖν ὁ Κ(ύριο)ς· ἐκ τοῦ στόματος αὐτοῦ ἐλέγχει αὐτὸν λέγων· ὅτι ἐγώ εἰμι· προσαιρουμένου τοῦ μή τι· ἐπεὶ πρὸ δὲ ὑπὸ τοῦ συνειδότος ὡς ἐλεγχόμενος· ἐξ ἀναιδείας ἠρώτα· ἀληθῆ λαμβάνων ὧν ἐποίησε δυνάμεων.

ξδ΄ Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰ(ησοῦ)ς τὸν ἄρτον, καὶ εὐχαριστήσας· ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ καὶ εἶπε· λάβετε φάγετε τοῦτό ἐστι τὸ σῶμά μου· καὶ λαβὼν ποτήριον καὶ εὐχαριστήσας· ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου· τὸ τῆς καινῆς διαθήκης· τὸ περὶ πολλῶν ἐκχυνόμε(νον)

ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. λέγει αὐτῷ ὁ πέτρος·
κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁ-
μοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον:—

ἑρμ

Ὡς θεὸς προλέγει τὰ ἐσόμενα· ἵνα μὴ σκανδαλισθῶσιν ὅτε ἑάλωκεν
συνελήφθη. εἰπὼν δὲ ὅτι γέγραπται· πατάξω τὸν ποιμένα,
ἔδειξεν ὅτι οἰκονομία ἦν τὸ γινόμενον. καὶ πάντα προανε-
κήρυξαν οἱ προφῆται. καὶ ὅτι γνώμῃ τοῦ πατρὸς ἐσταυρώθη. οὐ
πάντη δὲ καὶ πάντως γενομένου βουλήσει τοῦ πατρός· ἀλλ' ἤθελεν,
μὴ παθεῖν αὐτόν· εἴγε προσεδέξαντο οἱ ἰουδαῖοι. ἐπεὶ δὲ οὐ προ-
σήκαντο· ἀλλ' ἠθέλησαν φονεῦσαι, συγκατέθετο ὁ πατὴρ τῷ υἱῷ·
τοῦτο παθεῖν βουλομένῳ. οὕτω γὰρ λέγεται ὅτι ὁ πατὴρ ἐπάταξε
τὸν ποιμένα· ἐπεὶ παρέασεν αὐτὸν παθεῖν, δυνάμενος κωλῦσαι. εἶτα
λύει αὐτῶν τὴν λύπην, προαναγγέλλων τὴν αὐτοῦ ἀνάστασιν.
οὐ μακρὰν ἥκων αὐτοῖς, ἀλλ' ἐγγὺς τοῦ ἔθνους, ἐν ᾧ ἐσταυρώθη.
ἵνα ἀφόβως πιστεύσωσι τοῖς λεγομένοις. καὶ διὰ τούτου ση-
μαίνων ὅτι ἔμελλεν ἀποφοιτᾶν τῶν ἰουδαίων, καὶ εἰς τὰ ἔθνη
μετοικῆσαι:—

ἀμπ

Οὐχ ὅτι τὸν χριστὸν ἐπάταξεν ὁ πατήρ· ἀλλ' ὅτι πατάξαι λέγεται, ἐπειδὴ
πατάξαι τοῖς ἰουδαίοις αὐτὸν συνεχώρησεν· οὕτω γὰρ καὶ τὸ εἰ-
ρημένον τῷ προφήτῃ νοήσωμεν· πατάξω τὸν ποιμένα· τοῦ-
τέστι παταχθῆναι συγχωρήσω· δοκιμάζων τοὺς πατάσσοντας:

ἑρμ

Ἀποκριθεὶς δὲ ὁ πέτρος· ἀπὸ πολλῆς δὲ αὐθαδείας μόνος
ἔλεγε μὴ σκανδαλισθήσεσθαι ὁ πέτρος. διὸ εἴασεν αὐτὸν πεσεῖν·
ἵνα πεισθῇ μὴ ἐφ' ἑαυτῷ θαρρεῖν· ἀλλ' εἰς τὸν θεὸν καταφεύγειν·
καὶ πιστοτέρους ἡγεῖσθαι τοὺς τοῦ κυρίου λόγους· καὶ τῆς ἰδίας
συνειδήσεως. καὶ τὴν ἰδίαν [illegible] ἐπιγινώσκειν ἀσθένειαν.
τὸ γὰρ καὶ εἰ πάντες· οὐκ ἀπήλλακται τῆς ὑπεροψίας. εἰ καὶ μὴ οὕ-
τως εἴρηται τυχόν. μονονουχὶ γὰρ οὕτω φησίν· ἀλλ' ἔσται μᾶλλον
χριστὲ μὴ ἀληθεύων. ἢ ἐγὼ σκανδαλισθήσομαι. τί οὖν ὁ χριστός· ὡς θεὸς προ-
λέγει τὴν ὥραν καὶ τὸν ἀριθμὸν τῶν ἀρνήσεων. ἀλλ' ὁ πέτρος
θέλων τὴν περὶ αὐτὸν ἐνδείξασθαι στοργήν· ἐξ ἀγνοίας ὡς
γνησίαν ἔχων διάθεσιν. ἀνυποκρίτως πάλιν φαίνεται ἀν-
τιλέγων. ἀπαλλαγεὶς γὰρ τῆς ἐπὶ τῇ προδοσίᾳ ἀγωνίας.
ἐκ πολλῆς ἀγάπης θαρρῶν, ἤρξατο καὶ τῶν ἄλλων κατεξα-
νίστασθαι. οὐ μόνον δὲ οὗτος· ἀλλὰ καὶ οἱ λοιποὶ θερμότερον ῥη

ρι καὶ χρηματίσωμεν:—

λμε Καὶ λαβὼν τὸ ποτήριον. ὡσαύτως καὶ τὸ ποτήριον λαβών. τοῦ πάθους αὐτοῦ ὑπομιμνήσκει. καὶ διδάσκει πάλιν εὐχαριστεῖν ὅτι μετ' εὐχαριστίας δεῖ πίνειν τὸ ποτήριον. εὐχαριστίας δέ ἐστιν, ἀγαθῶν ἐπιτυχεῖν. εὐχαριστεῖ οὖν ὑπὲρ ἡμῶν ἐπὶ τῷ ποτηρίῳ τῆς ἀπολυτρώσεως. ἐν δὲ τῷ καιρῷ τοῦ πάσχα. μεταδίδωσι τῶν μυστικῶν. ἵνα δείξῃ ὅτι τύπος μὲν οὖν ἦν ἐκεῖνα. τοῦτο δὲ ἀλήθεια. διὸ καὶ ἑσπέρας ἐγένετο. τουτέστιν ἐν ἐσχάτῳ τῶν καιρῶν. ὅτε ἔδει τὰ νομικὰ παύεσθαι. διὸ καὶ φησί. τοῦτο ποιεῖτε ὡς ἐκείνου ἡμᾶς ἀπάγων. μνησθεὶς δὲ διαθήκης καὶ αἵματος, δείκνυσιν ὅτι μέλλει τελευτᾶν. καὶ γὰρ τὴν διαθήκην τὴν καινὴν τῷ αἵματι αὐτοῦ συνίστησιν, ὡς καὶ τὴν παλαιὰν. τῷ αἵματι τῶν θρεμμάτων, καὶ γὰρ καὶ αἷμα, διὰ ταῦτα ἐγένετο:—

[illegible] Λέγω δὲ ὑμῖν. ὅτι οὐ μὴ πίω ἀπάρτι. γλεύκους δὲ τοῦ ποτηρίου, ἀποτάξεσθαι τῷ σωματικῷ πόματι. καινὸν δὲ εἶναι τρόπον εὐφροσύνης ἐπαγγέλλεται τοῖς μαθηταῖς. ἣν μετὰ τὴν ἀνάστασιν ἔδειξε. φαγὼν καὶ πιών. οὐκέτι κατὰ χρείαν. ἀλλὰ τὴν ἀληθῆ πιστούμενος τοῦ σώματος φύσιν. [illegible] γὰρ ὑμῶν. τὴν ἀνάστασιν αὐτοῦ λέγει. καινὸν δέ φησι, διὰ τὸ καινοπρεπῶς. εἶναι δὴ ἄφθαρτον ἔχον λοιπὸν τὸ σῶμα, καὶ μὴ δεόμενον τροφῆς, ἔφαγε καὶ ἔπιεν. ἤτοι καινὸν μυστικῶς ἐστιν. ἢ τὰ κάλλιστα τῶν τοῦ μέλλοντος αἰῶνος μυστηρίων. ὧν οἱ ἅγιοι τεύξονται. ἢ ὡς λέγει καὶ ἑαυτὸν κοινωνόν. ἐπειδὴ τὴν ἡμετέραν σωτηρίαν, τροφὴν οἰκείαν λογίζεται. μετὰ οὖν τὴν μυστικὴν παράδοσιν. ἐπὶ τὸ εὐχαριστήριον ὕμνον, καὶ ἐξῆλθον εἰς τὸ τῶν ἐλαιῶν ὄρος. πρὸ τοῦ ληφθῆναι. ἵνα γὰρ τῷ Ἰούδᾳ ὁ τόπος γνώριμος. ὅτι ἐκ συνηθείας ἀπήρχοντο ἐκεῖ. οἰκονομικῶς δὲ καὶ αὐτὸς ὑμνεῖ σὺν τοῖς μαθηταῖς, τύπος αὐτοῖς γινόμενος:—

Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς. πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ. γέγραπται γὰρ πατάξω τὸν ποιμένα. καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ. εἰ πάντες σκανδαλισθήσονται ἐν σοί. ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. ἔφη αὐτῷ ὁ Ἰησοῦς. ἀμὴν λέγω σοι. ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν

187

τὴν πρώτην ἄρνησιν· ὅτι ἔγγιστα τῆς πρώτης ἀλέκτορος φωνῆς
ἠρνεῖτο· εἶτα καὶ ἡ δευτέρα καὶ ἡ τρίτη ἄρνησις· ἐπεὶ συνε-
χῶς γὰρ ἀλλήλαις ἐγένοντο· φησὶ γὰρ ὅτι καὶ μετὰ μικρὸν
οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· Καὶ τὸ ἑξῆς· αὐτὰς οὖν τὰς
δύο ἀρνήσεις μεταξὺ γενομένας τῆς πρώτης καὶ τῆς δευτέρας
φωνήσεως· φησὶ γὰρ· ἤρξατο ὀμνύειν· ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον·
καὶ ἀλέκτωρ ἐκ δευτέρου ἐφώνησεν· ταύτης οὖν τῆς
φωνήσεως· καὶ οἱ ἄλλοι εὐαγγελισταὶ μνημονεύσαντες· ὁ
κ(αὶ) ἐσημειώσατο ὡς πρὸ τούτου ὅτι ἐκ δευτέρου καὶ
τοῦτ' ἔστιν ἡ δευτέρα φώνησις τῆς πρώτης ἀλέκτορος φωνῆς·
ἣν ἤδη τὸν πρῶτον ἀρνησάμενον ἐξ ὀνόματος· ἀνεμνήσθη τοῦ ῥήματος·
ὅτι οὕτως ἦν τὸ τρίτον ἀρνησάμενον· Καὶ οὕτω τελείως
κατεπλάγη τὴν διάνοιαν· καὶ τὴν πολλὴν χαλάσας τῆς
αὐθαδείας παρρησίαν· ἀλλ' ἔτι ὑπὸ θορύβου καὶ φι-
λονεικίας ὡς οὐ τὸ μεῖον ἀρνήσασθαι· διὸ καὶ ἀφῆκεν αὐτὸν
ὁ δεσπότης· οὐ μόνον ἀρνήσασθαι· ἀλλὰ καὶ τρὶς ἀπαρνήσασθαι·
καὶ οὐ μόνον τρίς· ἀλλὰ καὶ μεθ' ὅρκου· ὁπότε οὖν μέγα τὸ
πτῶμα γέγονε· καὶ τὸ σημεῖον τοῦ πτώματος ἠκολούθησεν
ἡ τοῦ ἀλέκτορος φωνή· καὶ ὁ δεσπότης ἐξερχόμενος ἐνέ-
βλεψεν αὐτῷ· τότε ἐπέγνω τὸ πτῶμα· τότε ἰάτρευσε
τὸ τραῦμα· καὶ ὅρα πῶς συνέδραμον· ἵνα ὅσων αἰσθη-
αὐτὸν ἐλέγξῃ τοῦ πτώματος· αὐτὸ τὸ μέγεθος τοῦ ἁμαρτήματος
τὸ σημεῖον τοῦ ἁμαρτήματος· αὐτὸς ἐνέβλεψας ὁ δεσπότης·
Καὶ τίνα τότε· τὸν Πέτρον· τὴν πέτραν· τὸν θερμόν· τὸν
κλειδοῦχον· τὸν πρὸ τοῦ θανάτου ἕτοιμον· τὸν κορυφαῖον·
τὸν πλέον τῶν ἄλλων φιλοῦντα· φύγωμεν ἄρα πάντοτε ἐν-
νοοῦντες ταῦτα, τὸ πεποιθέναι ἑαυτοῖς· Καὶ νομίζειν
δύνασθαί τι ἀγαθὸν ἐξανύσειν ἐξ ἰδίας μόνης προθυμίας·
Καὶ κοινὸν τὸ πάθος· χαλεπὸν ὂν ἀεὶ ἐν τοῖς μάλιστα πᾶσι·
συγχωρεῖ δὲ τὸν Πέτρον πταίειν ὁ Χριστός, ἀπὸ σφήλαντες αὐτὸν μὴ
ἐφ' ἡμέτερον τοῦ λοιποῦ πεποιθέναι ἑαυτῷ· ἀλλ' αὐτῷ κα-
τορθοῦμεν· πῶς ἂν ὠφθείη χάριτος ἀξιοῦσθαι παιδεύων·
Καὶ ὅτι μάλιστα καὶ ἦν ἐν τούτοις ἕτερα τοῦ Πέτρου ἐλλα-
καὶ τοῖς πλείοσι ἐδίδαξατο καὶ μυρία ἄλλα· ἵνα οὖν μὴ
ἐπαρθῇ, ταῦτα ᾠκονόμηται· λέγει γὰρ ὁ Παῦλος·

περὶ τῆς ἐκείνης μὲν τῆς ἡμέρας· ὁ δ' ἐξ αὐτῆς οὐσίας διαλεγόμενος διὰ φιλοθεΐαν ὑπὲρ Χριστοῦ ἔλεγεν:

φω Πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσει με:

Τὸ, τρὶς ἀπαρνήσει με· ἢ τὸ πρὶν ἀλέκτορα φωνῆσαι, δύναται συναφθῆναι· καὶ τὴν δοκοῦσαν διαφωνίαν τῶν εὐαγγελιστῶν, αὐτόθεν λῦσαι· ἢ πρὸς τὸ ἀρνήσῃ με ὡς οἱ πλεῖστοι ἐξέλαβον συνακολουθῆναι· καὶ οὕτω λοιπὸν δέξασθαι. Καθὼς καὶ ὁ μακάριος οὗτος Ἰωάννης ἐπελύσατο· φωνεῖ ὁ ἀλέκτωρ καθ' ἕκαστον φωνήσεως καιρόν, οὐχ ἅπαξ οὐδὲ δίς· ἀλλὰ καὶ τρίτον καὶ ἐπέκεινα· καὶ ταῦτα, οὐ κατὰ συνέχειαν· ἀλλὰ καὶ μετά τινος διαστήματος· ὥστε τὴν ὅλην ἐκφώνησιν ἐκ διαφόρων φωνήσεων τε συνίστασθαι· Καὶ τὸν ὅλον τῆς ἐκφωνήσεως καιρόν, ἐκ τῶν κατὰ μέρος συμπληροῦσθαι διαστημάτων· ἔχει οὖν ἡ πρώτη ἀλεκτοροφωνία, διαφόρους φωνήσεις καὶ ἀνάλογα διαστήματα· ἡ δευτέρα ὁμοίως· καὶ ἡ τρίτη ὡσαύτως· καλεῖται δὲ καὶ ἡ ὅλη ἀλεκτοροφωνία, φώνησις· καὶ ἑκάστη τῶν ἐν αὐτῇ, περιεχουσῶν φωνήσεων· ὅταν οὖν λέγῃ ὁ Ματθαῖος καὶ οἱ ἄλλοι εὐαγγελισταί· ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσει με, τὰς ἐν ὅλῃ τῇ πρώτῃ ἀλεκτοροφωνίᾳ περιεχομένας φωνήσεις δηλοῖ· ὅτι πρὶν ἢ τὰς δύο ἢ τὰς κατὰ μέρος φωνήσεις προφθεῖν· τρίτον ἀπαρνήσει με· ὅπερ καὶ αὐτὸ δηλοῖ· ὅτι πρὶν τὴν ὅλην ἀλεκτοροφωνίαν τὴν πρώτην προφθεῖν, τρὶς ἀπαρνήσει με· ἡ γὰρ ὅλη ἀλεκτοροφωνία, πρὸς καὶ τέσσαρας ἔχει φωνήσεις· λίαν οὖν συμφωνοῦσι καὶ ἐν τούτῳ οἱ εὐαγγελισταί· ὅ, τε γὰρ Μάρκος καὶ οἱ ἄλλοι εὐαγγελισταὶ τὸ αὐτὸ ἴσως δηλοῦσιν· ὅτι οὔπω τῆς πρώτης ἐκφωνίας ἀπαρτισθείσης ὁ Πέτρος ἠρνήσατο· ἀλλ' οἱ μὲν ἄλλοι· ὁλοσχερέστερον καὶ κεφαλαιωδέστερον αὐτό φασι· οὐ γὰρ ἐπισημαίνονται ἐν ποίᾳ ἐκφωνήσει τῆς πρώτης ἀλεκτοροφωνίας· ἢ τῇ πρώτῃ, ἢ τῇ δευτέρᾳ· ἢ τῇ τρίτῃ, ἡ ἄρνησις τοῦ Πέτρου ἐγένετο· Μάρκος δέ φησιν ὅτι τρίτον ἀρνήσῃ με μου· ἕως φωνήσεως δευτέρας ἐν ἀλεκτοροφωνίᾳ δὲ ἡ πρώτη τῆς πρώτης ἀλεκτοροφωνίας ἦν αὐτῇ ἡ φώνησις· ἢ ἡ δευτέρα, οὐδὲ μὲν ἕτεροι δηλοῦσιν· ὁ μέντοι Μάρκος· πάσης τῆς ἀκριβείας ἔχεται· φησὶ γὰρ [illegible]

ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι· καὶ ἀφεὶς αὐτούς, ἀ-
πελθὼν προσηύξατο πάλιν ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπ(ών)·
τότε ἔρχεται πρὸς τοὺς μαθητάς· καὶ λέγει αὐτοῖς· καθεύ-
δετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε· ἰδοὺ ἤγγικεν ἡ ὥρα· καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου, παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν· ἐγείρε-
σθε ἄγωμεν· ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ παραδιδούς με:

Καὶ λέγει τοῖς μαθηταῖς· καθήσατε αὐτοῦ· ἐπειδὴ ἀδια- ἀρχ
σπάστως εἴχοντο τοῦ κυ οἱ μαθηταί, εἶπε· καθήσατε
αὐτοῦ· καὶ μόνος ἀεὶ ποιεῖ τὰς εὐχάς· διδάσκων ὅτι
δεῖ τὸν εὐχόμενον, ἡσυχίαν ἄγειν· μόνους δὲ τοὺς τῆς δό-
ξης αὐτοῦ θεωροὺς παραλαμβάνει μεθ'· ἵνα μὴ θορυβηθῶσιν
ἐν τῇ ἀγωνίᾳ αὐτοῦ· διδάσκει δὲ διὰ τούτου, ὅτι χρὴ ἐν
καιρῷ θλίψεως, εὔχεσθαι· ὥσπερ μὴ εἰσελθεῖν εἰς πει-
ρασμόν· οὐχ ὡς δειλιῶν μηδὲ τὸν θάνατον ἐκκλινόμενος· ἀλλὰ
δεικνὺς ὅτι ἀληθῶς γέγονεν ἄνθρωπος, πάντα τὰ ἡμῶν ὑπομένων
διὰ τὴν ἡμῶν σωτηρίαν· διὸ καὶ ἀγωνιᾷ· ἵνα μὴ δόκησιν
τινες εἴπωσι τὸ πάθος· κοινωνεῖ γὰρ ἐστὶ πάσης ἀνθρωπό-
τητος αὐτοῦ· ὥσπερ καὶ πάσης θεότητος καὶ μάλιστα
γενόμενος τῇ σαρκί· διὰ τὴν ἀνέκφραστον ἕνωσιν· ἢ ποιεῖ λυ-
πεῖσθαι τοὺς ἰουδαίους τοὺς ἑαυτοῦ ἁμαρτάνειν μέλλουσι· καὶ δια-
τὸ ἰουδαίους τούτοις μέλλειν τοὺς μαθητὰς σκανδαλίζεσθαι·
Καὶ τὸ ἐκθαμβεῖσθαι· καὶ τὸ μὴ ἀλλάσσεσθαι· οὐ γὰρ
ἐν τῷ ἰδίως ἐκλυπεῖ τὸ θάνατος· ἡ διὰ γὰρ ὅτι τὴν περὶ τὴν
ἁμαρτήσονται:-

Τότε λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου· λυπεῖται +
ὡς ἄνθρωπος· καὶ πάσης ψυχῆς καὶ τοῦ σώματος ἰδιοποιεῖται
ὁ ἀπαθής· ἐπειδὴ καὶ πάσης ἀνθρωπότητος κοινωνὸς ἦν
αὐτός, ὥσπερ καὶ τὰ μόνῃ τῇ θεότητι πρέποντα,
κοινά ... γενόμενος τῇ σαρκί· διὰ τὴν ἄρρητον καὶ ἀνέκφρα-
στον ἕνωσιν· καὶ μὴ σκανδαλίζεσθε τὴν αὐτοῦ σημασίαν· ἡ γὰρ
προσδοκὼς καὶ συνόδος τοῦ λόγου τοῦ παθοῦσαι τὰ ἑαυτῶν, μεγά-
λως εἰ καλῶς ἐν ἡμῖν, τῆς ἐν ἀνθρωπίνης φύσεως τὸ μυστήριον:-

Πάτερ μου εἰ δυνατόν· οὐκ ἐδειλίασε τὸν θάνατον ὁ Χς ὃν οὕτως
καταλαμβάνει εὐθὺ κηρύσσειν· οὐ γὰρ δειλίας· ἀλλ' οἰκονομίας
καὶ τῆς περὶ ἡμᾶς ἰατρείας ὑπάρχει τό· ἀπῆλθεν· περ

ἐδόθη μοι σκόλοψ τῇ σαρκί. καὶ ταῦτα ὀξέως· ἡ δὲ [illegible] σώματι·
καὶ πάθη κωλύουσιν ἀποδιαιρεῖσθαι; τὸ τῆς ψυχῆς αὐτῆς
καθαρεύειν μᾶλλον· ἄλλως τε, ἐπειδὴ τὸν κόσμον ἦν πεπι-
στευμένος διδάσκειν καὶ δηλεῖν· ἵνα μὴ θαρρῶμεν [illegible].
καὶ τὸ καρτερὸν καὶ ὡς συγγνώμονας ἐὰν ἐξελέγχηται· τοῖς ἀσθε-
νείᾳ σαρκὸς τῶν ὑψηλοτέρων ὀλισθαίνοντας, παραχωρεῖ
πεσεῖν· ἵνα τῷ οἰκείῳ πάθει, συγγνώμονι καὶ τὸ ἑτέρω
αὐτοῖς τοῖς ἁμαρτάνουσιν ἂν μετανοῶσι, γίνηται· ἀλλὰ
καὶ ἑξῆς [illegible] ἔρημου θείαν καὶ ἀσφάλειαν τοῦ ὑπὸ τῶν ὁρακε-
χώρηται· ἵνα ἀεὶ νήφωμεν· ἵνα εἰ καί τι δοκοῦμεν ἀγαθο-
εργεῖν, τῆς ἄνωθεν αὐτὸ δωρεᾶς ἡγώμεθα· ἵνα μηδὲ-
ποτε ἐν μηδενὶ ἀπαυθαδιαζώμεθα· ἵνα ἂν ὑπὸ
τοῦ πονηροῦ σκελιζώμεθα ἔν τινι, μὴ ἀπαγορεύσωμεν·
ἀλλ' ἐπὶ τὴν μετάνοιαν καὶ τὰ δάκρυα· καὶ τὸν τῆς καρδί-
ας συντριμμόν· καὶ τὴν ἐκ θεοῦ ἐπικουρίαν ἀνθυποτρέχωμεν·
μηδὲ ἐπὶ τοῖς κατορθώμασιν ἐναλλόμενοι::

Τότε ἔρχεται ὁ Ἰησοῦς μετ' αὐτῶν εἰς χωρίον λεγόμενον γεθση-
μανῆ καὶ λέγει τοῖς μαθηταῖς· καθίσατε αὐτοῦ, ἕως
οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ· καὶ παραλαβὼν τὸν
πέτρον καὶ τοὺς δύο υἱοὺς ζεβεδαίου, ἤρξατο λυπεῖσθαι
καὶ ἀδημονεῖν· τότε λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ
ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε
μετ' ἐμοῦ· καὶ προσελθὼν μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον
αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου εἰ δυνατόν ἐστι,
παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς
ἐγὼ θέλω, ἀλλ' ὡς σύ· καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς
καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας· καὶ λέγει τῷ πέτρῳ·
οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ·
γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν·
τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· πάλιν ἐκ
δευτέρου ἀπελθὼν προσηύξατο λέγων· πάτερ μου εἰ οὐ
δύναται τοῦτο τὸ ποτήριον τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ
αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου· καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς
πάλιν καθεύδοντας· [illegible]
[illegible]

ρίπτειν ἑαυτοὺς εἰς τὸ παθεῖν· ἀλλ᾽ εὔχεσθαι μὲν μὴ παθεῖν· ἐ-
μπεσόντας δὲ τοῦτο, γενναίως προσδέχεσθαι. προβὰς δὲ
ὀλίγον, εὔχεται· ἵνα αὐτῶν λεγομένων ἀκούσαντες, ἐκεῖνοι τὸν ὅ-
μοιον καὶ ὁμοίως ποιήσωμεν. διὰ τοῦτο δὲ εὔχεται, ἵνα μὴ
δόξῃ ὑπόκρισιν εἶναι τὸ πρᾶγμα. ὅθεν καὶ εἶπε τό, εἰ
δυνατόν· ἵνα δείξῃ τὸ ἀνθρώπινον· καὶ ὅτι οὐ καθ᾽ ἡδο-
νὴν αὐτῷ, ὁ θάνατος· τὸ δὲ εἰπεῖν, οὐχ ὡς ἐγὼ θέλω ἀλλ᾽ ὡς σύ,
ἔδειξεν ὅτι εἰ καὶ ἀθέλητον ἦν δοκεῖ τὸ πάθος· ἀλλ᾽ οὖν διὰ τὴν
τοῦ πατρὸς εὐδοκίαν, καταδέχεται τὸν θάνατον ἑκών τε· ἵνα
διὰ τῆς κατ᾽ οἰκονομίαν ὑποκρίσεως· δείξῃ ἑαυτὸν ἐν
πᾶσι συμφωνοῦντα τῷ πατρί· καὶ ὅτι οὐ καταγνοεῖ τὸ τοῦ πατρὸς
θέλημα· καὶ ἡμᾶς διδάσκων· ὅτι κἂν ἡ φύσις ἡμῶν ἀνθέλκῃ,
δεῖ πείθεσθαι τῷ θεῷ. ποτήριον δὲ καλεῖ τὸν θάνατον, διὰ
τὴν ὡς ὕπνον κάρωσιν καὶ μέθην· ἄλλως τε, παραιτεῖται
ἀθλίως μὲν θέλει τὸ ποτήριον διὰ τὴν ἐπακολουθήσασαν
ἐκδίκησιν τοῦ αἵματος αὐτοῦ· ἤγουν καθαίρεσιν τοῦ ναοῦ
καὶ τοῦ λαοῦ· καὶ τῆς περὶ τὸ ἱλαστήριον λατρείας. πάλιν δὲ
οὐ τὸ ἴδιον ἀλλὰ τὸ τοῦ πατρὸς καὶ προκρίνει θέλημα· συγχωρεῖ-
ται γὰρ πειραθῆναι πάντα· ἵνα ἂν οἱ μὲν ἐρρωμένοι τῶν
ἀσθενούντων, ἀμαρτάνοντες ἐλεηθῶσι· καὶ τῷ ἐ-
κείνων παραπτώματι, ἡ σωτηρία τοῖς ἔθνεσι γένηται.
εἶτα μετὰ τὸ προσεύξασθαι, ἔρχεται πρὸς τοὺς μαθητὰς
καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας. ἐπεὶ δὲ ὁ Πέτρος
θρασύτερον ἐλάλησε πρὸς αὐτόν, διαλέγεται· καὶ αὐτοῦ
καὶ τῶν ἄλλων ἐλέγχει τὴν ἀσθένειαν· καὶ ὡς παρρησιαζομένου
καθάπτεται μᾶλλον· τῶν ὑποσχομένων ὑπὲρ αὐτοῦ ἀποθανεῖν·
μὴ ἰσχυσάντων δὲ σὺν αὐτῷ, ἀγρυπνῆσαι· καὶ συναλγεῖν
ἀθυμοῦντι· διδάσκει δὲ διὰ τὸ προσεύχεσθαι, μὴ λα-
βεῖν τῶν κακῶν πεῖραν, διὰ τὴν φυσικὴν τοῦ σώματος ἀσθέ-
νειαν· οὐ γὰρ δεῖ πρὸς μόνην τὴν προθυμίαν ὁρᾶν· ἀλλὰ καὶ
τῆς σαρκὸς λογίζεσθαι τὴν ἀσθένειαν.

Πάλιν ἐκ δευτέρου ἀπελθών. πάλιν ὡς ἄνθρωπος τῶν ἀρ πε
Ἰουδαίων αἰτεῖ μὴ γενέσθαι αὐτῷ, τὸν θάνατον. δεύτερον
δὲ καὶ τρίτον ηὔξατο, δεικνὺς ὅτι ἀληθῶς ἄνθρωπος γέγονε·
καὶ διδάσκων τοὺς ἀνθρώπους, συνεχῶς εὔχεσθαι. μάλιστα ἐν

εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· ὁ γὰρ αὐτὸς θεϊ-
κῶς διαλεγόμενος [illegible] σωτηρίαν ἐρχόμενος αὐτὸ τὸ πάθος καὶ χαρὰν ἡ-
γεῖτο [illegible] βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο· καὶ αὐτὸς [illegible]
τὸ [illegible] τὴν ἀναφορὰν τοῦ σταυροῦ φησί· [illegible]
κε̄ [illegible] σοι· κα[illegible] [illegible] ὁ [illegible]
[illegible] ὅτι οὐ φέρων [illegible] τοῦ ἰυ̅· ἀλλ' [illegible]
[illegible] μέλλειν [illegible] τοῦ καιροῦ φαίνεται κἀμὸ
[illegible] οὐδὲ ἦν [illegible] ἀλλ' ὁ [illegible] ὁ ἱκανὸς [illegible]
[illegible] καὶ [illegible] ὑπὲρ [illegible] τοῦ ῥήματος· τὸν [illegible] διάκαλον ἐφ'
[illegible] τὸν [illegible] καὶ [illegible]· καὶ [illegible] τοῦ [illegible]
[illegible] ζῆλον [illegible] ὅτι [illegible] ἐστε
θεοῦ· διὰ τῶν αὐτῶν [illegible] διὰ κτύπον· καὶ τῇ παρα-
κλήσει τοῦ ποτηρίου [illegible] καὶ [illegible] διὰ
διὸ ὅτι τὸν θάνατον· καὶ τὸν αὐτὸν [illegible] θανατωθῆ· καὶ οὕτως
[illegible] τῇ θελήσει [illegible] ἐδοξάσθη [illegible]
[illegible] καὶ τῶν ἰουδαίων [illegible] φέρεσθαι· μέ-
λοντα [illegible] ἐπὶ [illegible] τὸν [illegible] σταυρο-
σαντες [illegible] τρίτον δὲ, καὶ [illegible] διὰ τῶν [illegible]
τούτων [illegible] ἐφορμᾶν [illegible] τοῖς [illegible]
[illegible] καὶ δεῖ [illegible] χωρεῖν καὶ ἐφ' ἑαυτοῖς [illegible]
[illegible] δὲ τοῦ καιροῦ· [illegible] τὸ ὄνομα καὶ λέγων
παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· καὶ πλὴν οὐχ ὡς ἐγὼ
θέλω· ἀλλ' ὡς σύ.—

ὠριγ Φασὶ μοί τινες ὅτι [illegible] τούτοις καὶ τῇ προσευχῇ ἐδεδοίκει [illegible]
διάκαλον· τὸ δὲ εἰ δυνατὸν διδάσκει ἡμᾶς ὅτι [illegible]
ὁ χσ̅ [illegible] καὶ [illegible] θανάτου [illegible] ὑπὲρ ἡμῶν
οὐκ ἂν ἐρύσθημεν:—

ἀπε εἰ δυνατόν· οἰκονομι-
κῶς εἶπε τοῦτο· [illegible] φύσεως [illegible]
[illegible] τὸν θάνατον· [illegible] τὸ [illegible]
ἵνα δείξῃ, ὅτι παρὰ φύσιν [illegible] τοῖς [illegible] ὁ θάνατος·
καὶ [illegible] τὸν διάβολον· καὶ [illegible]
[illegible] διὰ [illegible] αὐτῷ, καταλυθήσεσθαι [illegible] θάνατος· καὶ
ἵνα [illegible] ἰουδαίοις [illegible] λέγων· ὅτι οὐ [illegible]
[illegible] ἀποκτείναντες τὸν [illegible] τῷ πάθει· καὶ [illegible]
τοῦ [illegible]· καὶ ἵνα [illegible] γένηται [illegible]· [illegible]

ἀπήγαγον αὐτὸν πρὸς Καϊάφαν τὸν ἀρχιερέα· ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν· ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ, ἀπὸ μακρόθεν· ἕως τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ ὅλον τὸ συνέδριον· ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ· ὅπως αὐτὸν θανατώσωσι· καὶ οὐχ εὗρον καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον· ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον· οὗτος ἔφη· δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ· καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτό· καὶ ἀναστὰς ὁ ἀρχιερεύς, εἶπεν αὐτῷ, οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου καταμαρτυροῦσιν, ὁ δὲ Ἰησοῦς, ἐσιώπα· καὶ ἀποκριθεὶς ὁ ἀρχιερεύς, εἶπεν αὐτῷ· ὁρκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος· ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ· λέγει αὐτῷ ὁ Ἰησοῦς, σὺ εἶπας· πλὴν λέγω ὑμῖν· ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου· καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως· καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ· τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων· ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ· τί ὑμῖν δοκεῖ· οἱ δὲ ἀποκριθέντες εἶπον· ἔνοχος θανάτου ἐστί· τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ· καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐράπισαν, λέγοντες· προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε::

Θαυμάζων ὁ εὐαγγελιστὴς ὅτι εἷς ὢν τῶν δώδεκα παρέδωκε τὸν διδάσκαλον, ἢ πῶς τοῦτο. θαρρῶν δὲ τῇ τοῦ διδασκάλου ἐπιεικείᾳ ὁ Ἰούδας, καταφιλεῖ αὐτόν· ὁ δὲ Κύριος ἀνέχεται, ἵνα καὶ οὕτως αἰδεσθῇ· ὅτι ἕως ἐσχάτης ὥρας διετήρει τὴν πρὸς αὐτὸν ἀγάπην:: ἀπε

Εἰώθει ἀσπάζεσθαι ὁ προδότης τὸν διδάσκαλον· ὡς πάντες οἱ μαθηταί, ὅτε μακρόθεν ἤρχοντο:-

Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, ἑταῖρε ἐφ᾽ ᾧ πάρει. ὅτε δὲ οὐδὲ οὕτως ἐδυσωπήθη, τότε ἑαυτὸν ἐξέδωκεν· εἰπὼν ἑταῖρε ἐφ᾽ ᾧ πάρει· δηλοῖ δὲ τοῦτο. ὅτι οὐ χρεία τοῦ προσχήματος τούτου· διὸ οὐ θέλεις τὸ φίλημα φίλος· ποίει ὃ βούλει· ἁμάρτανον· δι᾽ ὃ δὴ ἐμαυτὸν ἑκὼν ἐκδέδωκα· οὐ γὰρ ἵνα με ἀσπάσῃ ἦλθες.

καιρῷ τῶν πειρασμῶν. ἐλθὼν δὲ πάλιν πρὸς τοὺς μαθητὰς καὶ εὑρὼν αὐτοὺς καθεύδοντας, οὐδὲ ἤλεγξε· γινώσκων αὐτῶν τὴν ἀσθένειαν· ἵνα μὴ λυπήσῃ αὐτούς. ἀπελθὼν δὲ πάλιν ἐκ τρίτου, προσηύξατο. εἶτα ἐλθὼν πάλιν πρὸς αὐτοὺς δείκνυσιν ὅτι ἤδη μέλλει παραδίδοσθαι· καὶ οὐ χρῄζων τῆς αὐτῶν ἐπικουρίας· καθεύδετε τὸ λοιπὸν φησὶ καὶ ἀναπαύεσθε, τουτέστιν εἰ δοκεῖ ὑμῖν εὔκαιρον εἶναι καθεύδειν ὅτε μέλλω παραδίδοσθαι, καθεύδετε. συγχωρεῖ μὲν νυστάζουσι, διὰ τὴν φύσιν. οὐ μὴν συναινεῖ· ἤτοι τοῦτό φησιν· ἐπειδὴ ὁ καιρὸς οὐκ ἀπαιτεῖ ὑμᾶς προσαγρυπνεῖν, ἀναπαύεσθε τὸ λοιπόν· καὶ ὕστερον ἀγωνίζεσθε. δεικνὺς δὲ ὅτι καὶ ἤδη εἰσὶ τὰ ἐσόμενα, καὶ ἀκριβῶς ἐπάγει· ἰδοὺ ἤγγικεν ἡ ὥρα, καὶ ὁ παραδιδούς με. ἐγείρεσθε ἄγωμεν:-

ξα Καὶ ἔτι αὐτοῦ λαλοῦντος· ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε. Καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν, ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν· καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· χαῖρε ῥαββί· καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε ἐφ' ᾧ πάρει. τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν· καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ· καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου Καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων· πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι. ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με. καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, Καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν

αἱ γραφαί· ὅτι οὕτω γεγονέναι· ἀλλ' οὐκ εἰ δὴ ἅπαντα δι' αὐτὸ μόνον καὶ
γενέσθαι· ὅτι οὕτω διὰ τὴν τῶν ἰουδαίων σκαιότητα. προεί-
ρηται δὲ ὅτι ἐν ταῖς γραφαῖς περὶ αὐτοῦ διὰ τοῦτο, τοῦ ἐρχομένου
τος καὶ τὰ πάθη τοῦ θ(εο)ῦ:-

(ΙΙ) ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετά· διὰ τούτου δεικνὺς τὴν ἀ-
λόγιστον αὐτῶν ἐπιχείρησιν· ἑτέρωθεν δὲ ὅτι καθ' ἡμέραν ἐν
τῷ ἱερῷ, ἡ μὴν καὶ οὐκ ἐκρατήσατέ με, ἔδειξεν ὅτι καὶ
νῦν ἑκὼν ἑάλω· ὅπερ ἡνίκα ἐν τῷ ἱερῷ, φησίν, ἠθέλε-
τέ με συσχεῖν· ἀλλ' ἐπειδὴ οὐ παρῆν ὁ καιρός, οὐ συνε-
χώρησα τότε· νῦν δὲ ἑκὼν παραδίδωμι ἐμαυτόν· ἵνα
πληρωθῶσιν αἱ γραφαί. εἶτά φησι· τότε οἱ μαθηταὶ
πάντες, ἀφέντες αὐτὸν ἔφυγον. ὁ δὲ Πέτρος ὡς ἅτε
περὶ τὸν διδάσκαλον θερμὸς διακείμενος, ἠκολούθει
μακρόθεν:- Ὕστερον δὲ προσελθόντες δύο ψευδο-
μάρτυρες εἶπον. καὶ οὐ τοι οἱ δύο συμφωνήσαντες. ψευδῆ
εἶπον· οὐ γὰρ εἶπεν ὁ κ(ύριο)ς ὅτι λύσω τὸν ναόν· ἀλλὰ λύσατε.
καὶ οὐκ εἶπε λύσατε τὸν ναὸν τοῦ θ(εο)ῦ· ἀλλὰ τὸν ναὸν τοῦτον.
οὐδὲ γὰρ ἐπὶ τοῦ χειροποιήτου ναοῦ εἶπε τοῦτο. οὐκ εἶπεν
οἰκοδομήσω· ἀλλ' ἐγερῶ· περὶ τοῦ ἰδίου σώματος λέγων.
οἱ δὲ ἰουδαῖοι καὶ ψευδῆ οὕτω ταύτην τὴν φωνὴν ἐδέξαντο·
καὶ ὡς βλασφημήσαντα αὐτὸν κατέκριναν· ἴσως ὅτι ὅ-
ως παραινούμενοι ἐν ζητήσει τοῦ δικαστηρίου· καὶ εἰδῶσιν ὅτι
οὐδὲ χρῶνται αὐτὸν ἀπολογουμένου· σιωπᾷ· οὐ γὰρ σημεῖα
οὐκ ἐπίστευσαν, οὔτε λόγοι ἔπεισαν ἄν. εἶτα ὁρκίζει αὐτὸν
ὁ ἀρχιερεὺς εἰπεῖν· εἰ αὐτός ἐστιν ὁ χ(ριστὸ)ς ὁ υἱὸς τοῦ θ(εο)ῦ. ὁ δὲ
ἵνα μὴ δόξῃ ὅρκου θ(εο)ῦ σιωπᾶν, καὶ ἵνα μὴ εἰπὼν ὅτι ἐγώ
εἰμι· δόξῃ ὑψηλόφρων εἶναι καὶ ὑπερόπτης, εἶπε τό,
σὺ εἶπας. τοῦτ' ἐστι τὸ σὸν ὁμολόγησε στόμα· ὅτι ἐγώ εἰμι
ὁ χ(ριστὸ)ς. εἶτα τὰς προφητείας αὐτοῖς ὑπομιμνήσκει
τοῦ Δα(υὶ)δ καὶ τοῦ Δανιήλ· διαγγέλλων τὴν δευτέραν αὐτοῦ
παρουσίαν. εἶτα ἐπειδὴ ἤκουσαν οἱ ἰουδαῖοι ὅτι χ(ριστὸ)ς ἦν
καὶ με αὐτὸν ἐπὶ πλέον· διορθοῦται καὶ φησίν· ὅτι
ὄψεσθέ με· οὐ κενὴν ταπεινῷ σχήματι ὡς νῦν· οὔτε ὡς τότε·
ἀλλ' ὡς οὐκ ἐρχόμενον μετὰ δόξης συγκαθιζόμενον τῷ π(ατ)ρί·
καὶ δικάζοντα ζῶσι καὶ νεκροῖς· τοῦτο γάρ ἐστι τὸ ἐκ δεξι-
ῶν τῆς δυνάμεως καθῆσθαι:-

ζήτ(ει)

ζήτ(ει)

7

[illegible] παραδοῦ· φασὶ δέ τινες· ὅτι εἰ χρῆται αἰδοῖ πρὸς τὸν δι-
δάσκαλον ὁ Ἰούδας· μαχομένας γὰρ κρίσεις εἶχε περὶ τοῦ
διδασκάλου· διὸ οὕτως ὀλιγωρίᾳ ἐτήρησε τὴν αἰδῶ· ἑταῖρε·
τούτῳ τῷ ὀνόματι οὐδένα οἴδαμεν τῶν ἀρχαίων καλούμενον·
καὶ γὰρ καὶ ὁ μὴ ἔχων ἐνδύματα γάμου, οὕτως ἐκλήθη· ἑταῖρε
[illegible]· καὶ πρὸς τὸν γογγύσαντα τῶν ἐργατῶν λέ-
λεκται· ἑταῖρε οὐκ ἀδικῶ σε :-

τοῦ αὐτ. Καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰ(ησο)ῦ ἐκτείνας τὴν χεῖρα· πέτρος ἦν οὗτος ὁ
ἔχων δὲ μάχαιραν· ὡς εἰκὸς ἐν αὐτῇ θύσας τὸ ἀρνίον· καὶ ὡς νομικὸς
παραγγέλματι ἀκολουθῶν· τοῖς ξιφήρεσι διὰ μαχαίρας ἀμύ-
νεσθαι· ὁ δὲ κ(ύριο)ς μεταρρυθμίζων αὐτὸν εἰς ἀγγελικὴν πολιτείαν,
διδάσκει μὴ χρῆσθαι μαχαίρᾳ· κἂν ὑπὲρ θ(εο)ῦ δοκῇ τις ἀμύνειν
κτείνων ὡς ὑβριζομένου· ἤ τινα κατὰ τῶν φονέων ἀπειλὴν
λέγει· καὶ τὸν μόνον τὸν τιμωρούμενον τοῖς χρωμένοις μαχαί-
ρᾳ· πάντες γάρ φησιν οἱ λαβόντες μάχαιραν καὶ τὰ ἑξῆς·
ἐξῃρῆσθαι δὲ χρὴ τοῦ λόγου τούτου τοὺς ἐν ἀρετῇ ἀγωνιζομένους.
ἤτοι ὅτι δύναται ἐὰν θέλῃ ἐκεῖνα ἀμύνασθαι ἑαυτῷ, καὶ ὅτι
ταῖς γραφαῖς τοῦτο δοκεῖ· καὶ κατὰ θ(εο)ῦ γνώμην γινομένην· ταῦτα δὲ
εἶπεν· ἵνα μὴ οἱ Ἰουδαῖοι νομίσωσιν ὅτι ἀλόντα ἔπαθεν· οὐκ εἶπε δὲ ὅτι
ἐγὼ δύναμαι τοῦτο ποιῆσαι· ἀλλὰ παρακαλέσαι τὸν π(ατέ)ρα μου·
οἰκονομικῶς ὡς ἄνθρωπος διὰ τὴν αὐτῶν μαθητῶν ἔφη· πολλὰ
γὰρ καὶ τότε ἐνδείξας ἀνθρώπινα· καὶ πρὸς τὸν φόβον αὐτῶν
σχηματίζεται τοῖς δώδεκα λεγεῶνας τῶν ἀγγέλων· ὅ-
πουγε εἷς, πολλοὺς ἀνελεῖν ἀνθρώπους ἐξαρκεῖ· εἰ γὰρ ἠθέλη-
σε φησί, παρίσταντο ἂν αὐτῷ· ἀντὶ τῶν δώδεκα μαθητῶν.
δώδεκα λεγεῶνας ἀγγέλων· καὶ διδάσκει ὅτι πάντα τὰ
οὕτως εἴρηται περὶ αὐτοῦ ἐν ταῖς γραφαῖς· καὶ ὅτι αὐτός
ἐστιν ὁ χ(ριστό)ς· καὶ ὅτι δεῖ οὕτως ἐξ ἀνάγκης γενέσθαι·

κυριλλ(ου) Πλείους ἢ δώδεκα λεγεῶνας· δώδεκα εἶπε λεγεῶνας.
ἀντὶ ὑμῶν λέγων τῶν δώδεκα μαθητῶν· ὡσπεροῦν τῆς ὑ-
μῶν ἐπικουρίας δέομαι· οὐ γὰρ κέχρημαι τῇ ἐξουσίᾳ.
ἀλλ' ἐκδίδωμι ἐμαυτὸν τοῖς Ἰουδαίοις· διὰ γὰρ τοῦτο
[illegible]· παραγγέλλουσιν αἱ γραφαί· ὅτι οὕτω μέλλουσιν οἱ
Ἰουδαῖοι ποιεῖν :-

ὠρι Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί· οὐχ ἵνα δὲ πληρωθῶσι τὴν

αἱ γραφαί· ταῦτα γέγονε μέν· ἀλλ' οὐχ ἵνα δηλαδὴ πληρωθῶσι μὲν
γενέσθαι ταῦτα διὰ τὴν τῶν ἰουδαίων σκαιότητα· προει-
ρηται δὲ ταῖς γραφαῖς περὶ αὐτοῦ δι' αὐτοῦ τοῦ προ. τοῦ ἐρωμένου
πος καὶ τὰ πάθη τοῦ θῦ:

(ι) ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετά· διὰ τούτου δείκνυσι τὴν ἀ- ζαῦ
λογον αὐτῶν εἶναι χείρωσιν· ἐμφαίνων δὲ ὅτι καθ' ἡμέραν
ἐν τῷ ἱερῷ, ἡνίκα καὶ οὐκ ἐκρατήσατέ με, ἔδειξεν ὅτι καὶ
νῦν ἑκὼν ἑάλω· ὅτε περ ἦν μὲν ἐν τῷ ἱερῷ, φησίν, ἠθέλε-
τε με συσχεῖν· ἀλλ' ἐπειδὴ οὔπω παρῆν ὁ καιρός, οὐ συνε-
χώρησα τότε· νῦν δὲ ἑκὼν παραδίδωμι ἐμαυτὸν ἵνα
πληρωθῶσιν αἱ γραφαί, εἰπών φησι· τότε οἱ μαθηταὶ
πάντες, ἀφέντες αὐτὸν ἔφυγον. ὁ δὲ πέτρος ὡς ἐλάττω
περὶ τὸν διδάσκαλον θερμὸς διαλείπει μέν, ἠκολούθει
μακρόθεν:- Ὕστερον δὲ προσελθόντες δύο ψευδο- ζαῦ
μάρτυρες εἶπον· καὶ οὗτοι οἱ δύο συμφωνήσαντες. τὰ δὲ
εἶπον· οὐ γὰρ εἶπεν ὁ κς ὅτι λύσω τὸν ναόν· ἀλλὰ λύσατε.
καὶ οὐκ εἶπε λύσατε τὸν ναὸν τοῦ θυ· ἀλλὰ τὸν ναὸν τοῦτον·
οὐδὲ γὰρ εἶπε τὸν χειροποίητον ναὸν εἶπε τοῦτο· οὐκ εἶπεν
οἰκοδομήσω· ἀλλ' ἐγερῶ· περὶ τοῦ ἰδίου σώματος λέγων.
οἱ δὲ ἰουδαῖοι καὶ ψευδῆ οὐ ταύτην τὴν φωνὴν ἐδόξαν·
καὶ ὡς συκοφαντήσαντες αὐτὸν κατέκριναν· τί οὖν ὁ ἰς·
ὡς παραγενόμενος ἐν γε τῷ τοῦ δικαστηρίου· καὶ εἰδὼς ὅτι
οὐδὲ χρῶνται αὐτῷ ἀπολογουμένῳ, σιωπᾷ· οὐ γὰρ σημεῖα
οὐκ ἐπίστευσαν, οὔτε λόγοις ἐπίστευσαν ἄν· εἶτα ὁρκίζει αὐτὸν
ὁ ἀρχιερεὺς ἀπειλῶν· εἰ αὐτὸς εἶ ὁ χς ὁ υἱὸς τοῦ θῦ· ὁ δὲ
ἵνα μὴ δόξῃ καταφρονεῖν σιωπῶν, καὶ ἵνα μὴ εἰπὼν ἐγώ
εἰμι· δόξῃ ἀλαζὼν φρονεῖν εἶναι καὶ τὸ πρόσωπον, ἀπέδωκε,
σὺ εἶπας· τουτέστι τὸ σὸν ὁμολογήσεται στόμα, ὅτι ἐγώ εἰμι
ὁ χς. εἶτα τῆς προφητείας αὐτοὺς ἀναμιμνήσκει
τοῦ δαδ καὶ τοῦ δανιήλ. διαγγέλλουσι τὴν δευτέραν αὐτοῦ
παρουσίαν· εἶτα ἐπειδὴ ἤκουσαν οἱ ἰουδαῖοι ὅτι χς ἤδη
καὶ μετ' αὐτὸν ἕτερος πλάνος. διορθοῦται καὶ φησὶν ὅτι
ὄψεσθέ με· οὐ κενῷ ταπεινῷ σχήματι ὥσπερ νῦν· οὔτε ...
ἀλλ' ἀπ' οὐρανοῦ ἐρχόμενον μετὰ δόξης, συγκαθήμενον τῷ πρὶ
καὶ δικάζοντα ζῶσι καὶ νεκροῖς· τοῦτο γὰρ δηλοῖ τὸ ἐκ δεξιῶν
τῆς δυνάμεως καθῆσθαι:-

ἀγγέλων παραδούς. φασὶ δέ τινες· ὅτι εἶχεν ἀναιδῶς πρὸς τὸν δι-
δάσκαλον ὁ ἰούδας· μαχομένας γὰρ καρδίας εἶχεν ἄχρι τοῦ ὅρου τοῦ
διδασκάλου. διὸ οὕτως ὅλῃ τύχῃ ἐτήρησε τὴν ἀναίδειαν. ἑταῖρε.
τουτέστι, ὀνόματι οὐδένα οἴδαμεν τῶν ἀστείων καλούμενον.
Καὶ γὰρ καὶ ὁ μὴ ἔχων ἔνδυμα γάμου, οὕτως ἐκλήθη. ἑταῖρε
πῶς εἰσῆλθες ὧδε. καὶ πρὸς τοὺς γογγύσαντας ἐργάτας λέ-
λεκται. ἑταῖρε οὐκ ἀδικῶ σε. –

ῥητ. αὐτ. Καὶ ἰδοὺ εἷς τῶν μετὰ ἰῦ ἐκτείνας τὴν χεῖρα. πέτρος ἦν οὗτος.
ὁ ἔχων δὲ μάχαιραν. ὡς ἐν αὐτῇ θύσας τὸ ἀρνίον. Καὶ ὡς νομικὸς
παραγγέλματι ἀκολουθῶν. τοὺς ξιφήρεις διὰ μαχαίρας ἀμύ-
νεται. ὁ δὲ κσ μεταρρυθμίζων αὐτὸν εἰς ἀγγελικὴν πολιτείαν,
διδάσκει μὴ χρῆσθαι μαχαίρᾳ. Κἂν ὑπὲρ θῦ δοκῇ τις ἀμύνασθαι
κτείνων ὡς ὑβριζομένου. ἤ ταύτην κατὰ τῶν φονέων ἀπειλὴν
λέγει. καὶ τὸν νόμον τὸν τιμωρούμενον τοὺς χρωμένους μαχαί-
ρᾳ. πάντες γάρ φησιν οἱ λαβόντες μάχαιραν καὶ τὰ ἑξῆς.
πῶς χρῆσθαι δὲ χρὴ τοῦ λόγου τούτου τοῖς ἐν ἁρπαγαῖς ζῶσιν.
ἢ ταῦτα ὅτι δυνατὸς ἦν εἰ θέλει ἀμύνασθαι ἑαυτόν, καὶ ὅτι
ταῖς γραφαῖς τοῦτο δοκεῖ. καὶ κατὰ θῦ γνώμην γινόμενον. ταῦτα δὲ
εἶπεν. ἵνα μὴ οἱ ἰουδαῖοι νομίσωσιν ὅτι ἁλισκόμενος ἔπαθεν. οὐκ εἶπε δὲ ὅτι
ἐγὼ δύναμαι τοῦτο ποιῆσαι. ἀλλὰ παρακαλέσαι τὸν πρα μου.
οἰκονομικῶς ὡς ἄνθρωπος διὰ τὴν αὐτῶν ἀσθένειαν. πολλὰ
γὰρ καὶ τότε ἐνδείξας ἀνθρώπινα. καὶ πρὸς τὸν φόβον αὐτῶν
σχηματίζεται τοῖς δώδεκα λεγεῶνας τῶν ἀγγέλων. ὁ
[illegible], πολλοὺς ἀμβλεῖν ἀπὸ τοῦ ἐξαρκεῖ. εἰ γὰρ ἠθέλε
φησί, παρίσταντο ἂν αὐτῷ. ἀντὶ τῶν δώδεκα μαθητῶν.
δώδεκα λεγεῶνας ἀγγέλων. καὶ διδάσκει ὅτι πάντα ταῦ-
τα εἴρηται περὶ αὐτοῦ ἐν ταῖς γραφαῖς. Καὶ ὅτι αὐτός
ἐστιν ὁ χσ. Καὶ ὅτι δεῖ ταῦτα ἐξ ἀνάγκης γενέσθαι.

κυριλλ. Πλείους ἢ δώδεκα λεγεῶνας. δώδεκα εἶπε λεγεῶνας.
ἀντὶ ὑμῶν λέγων τῶν δώδεκα μαθητῶν. ὥσπερ οὐ τῆς ὑ-
μῶν ἐπικουρίας δέομαι. οὐ γὰρ κέχρημαι τῇ ἐξουσίᾳ.
ἀλλ' ἐκδίδωμι ἐμαυτὸν τοῖς ἰουδαίοις. ἐπειδὴ πρὸ τούτου
[illegible] προανήγγειλαν αἱ γραφαί. ὅτι ταῦτα μέλλουσιν οἱ
ἰουδαῖοι ποιεῖν:-

ἀμ. Πῶς οὖν πληρωθῶσιν αἱ γραφαί. οὐχ ἵνα δὲ πληρωθῶσιν

παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ ἰῦ τοῦ ναζοραίου· ὁ
δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν πάντων, λέγων· οὐκ οἶδα
τί λέγεις· ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν
ἄλλη καὶ λέγει αὐτοῖς· ἐκεῖ καὶ οὗτος ἦν μετὰ ἰῦ τοῦ ναζο-
ραίου· καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου, ὅτι οὐκ οἶδα
τὸν ἄνθρωπον· μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον
τῷ πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλι-
ά σου δῆλόν σε ποιεῖ· τότε ἤρξατο καταθεματίζειν καὶ
ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ εὐθέως ἀλέκτωρ ἐ-
φώνησε· καὶ ἐμνήσθη ὁ πέτρος τοῦ ῥήματος τοῦ ἰῦ εἰρη-
κότος αὐτῷ, ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀ-
παρνήσῃ με· καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς· πρωΐ-
ας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς
καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ ἰῦ· ὥστε θανατῶ-
σαι αὐτόν· καὶ δήσαντες αὐτὸν, ἀπήγαγον καὶ παρέδω-
καν αὐτὸν ποντίῳ πιλάτῳ τῷ ἡγεμόνι:—

Ὅσον μὲν ἐπὶ τῇ ἐρωτήσει, οὐ δεῖται ζητήσεως δ' εἰρηκώς· πρὸς ἀπ
ἀμφοτέρων δὲ, ἐκπέσον οὕτως· ὁ δ' ἐξελθὼν μὲν τοῦ ἰῦ· ἐν δὲ τῇ αὐλῇ
τοῦ ἀποκτέννοντος γράμματος ἐστὶν αὐτῶν· καὶ ἐν ἰουδαϊκαῖς
παραδόσεσι· καὶ ἐντάλμασι καὶ διδασκαλίαις ἀνθρώπων,
οὐ χριστὸν ὁμολογεῖ χριστόν· ἀλλὰ καὶ ὁ γνωστὸς ἀρχιερεῖ δοῦλος ὅσος· καὶ ὅλος
τῆς παιδίσκης ὢν ἔξω γίνεται τῆς ἀρνεῖσθαι χριστὸν ποιούσης
παιδίσκης· εἰ δὲ μηδεὶς δύναται εἰπεῖν κύριον ἰησοῦν εἰ μὴ ἐν
πνεύματι ἁγίῳ· οὔπω δὲ ἦν πνεῦμα ἅγιον ὅτι ἰσ οὐδέπω ἐδοξάσθη,
οὐχ οἷόν τε ἦν, οὐδὲ πέτρον ὁμολογῆσαι· διὸ οὐδὲ ἅμα λέξ
πρὸς γὰρ τοὺς ὁμολογοῦντας αὐτὸν λέγει ὁ σωτήρ· οὐ γὰρ ὑμεῖς
ἐστε οἱ λαλοῦντες· ἀλλὰ τὸ πνεῦμα τοῦ θῦ τὸ λαλοῦν ἐν ὑμῖν·
τάχα δὲ καὶ ὁ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας, οὐ γὰρ μάζει
πέτρος· οὐ γὰρ ἦν πνεῦμα· τήρει δὲ, ὅτι τὴν δευτέραν ἄρνησιν ὁ
ἔξω τοῦ πυλῶνος ἀλλ' ἐν αὐτῷ, ἵνα δὲ καὶ τῆς ἄλλης παιδί-
σκης ἀποφύγωμεν, νοήσωμεν τό, ὡς ὀφθαλμοὶ παιδίσκης
εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν
πρὸς κύριον τὸν θεὸν ἡμῶν· λέγω ἀποστῶμεν τῶν τῆς παιδίσκ(ης)
τεταμένης ἀπὸ τὰς χεῖρας τῆς κυρίας αὐτῆς:—

Τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· ζήτ τ αὐ

Ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος· ἀλλ' ὅτι ἐστὶν ὁ ὅρκος [illegible] παρ' αὐτὸν ἐξορκισμόν· οἱ γὰρ διὰ μόνου τοῦ σχήματος ἀσεβοῦντες ἐξορκίζονται ἵνα ἐξομολογήσωνται· οὐδὲ ἐν καιρῷ [illegible] ἱερέα ποτὲ [illegible]· καὶ χωρὶς ἐξορκισμοῦ [illegible] τοῖς δαίμοσιν. Καίτοι αὐτὴν ἐξουσίαν τοῖς μαθηταῖς χαρισάμενος. ἐπερωτῶ οὖν [illegible] αὐτὸν [illegible], ἀρνήσασθαι μὲν αὐτὸν οὐκ ἐδύνατο ὁ Χριστός, [illegible] εἶναι τοῦ θεοῦ· ἀλλ' οὐδὲ διὰ σιωπῆς [illegible] τοὺς ἱερεῖς [illegible] ἀπεκρίθη.

Λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπάρτι. τὴν δόξαν λέγει τὴν ἐξ οὐρανοῦ φανησομένην· οὐ σχήματι σωματικῷ, οὐδὲ γὰρ ἔφη καὶ τὸν θεὸν ὀφθήσεσθαι, ἵνα καὶ ἡ ἐκ δεξιῶν καθέδρα σωματικῶς θεωρεῖσθαι λέγηται· οὐδὲ γὰρ ὁρᾶται ὁ πατὴρ [illegible]· ἀλλὰ τὸν υἱὸν ἐν τῇ μεγάλῃ δόξῃ τῇ ἀοράτῳ τοῦ [illegible] ἐκ δεξιῶν [illegible] θεωρηθήσεσθαι· ὡς τῆς ὁρατῆς ταύτης δόξης τῆς ἀοράτου [illegible] ἐξ ἀγγέλων [illegible] καὶ ἐντιμοτάτου. Καὶ γὰρ λέγει τὸν ἐρχόμενον ἐπὶ τῶν νεφελῶν· τουτέστιν οὐ καθέδρας σωματικῆς.

ὡς

Τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ· ἵνα δείξῃ μέγα τὸ ἁμάρτημα, ὡς ἐπὶ μεγάλῃ βλασφημίᾳ περιεσχέθη. ἔθος γὰρ ἦν ἰουδαϊκόν. ἀλλ' ὅρα πῶς διαρρήξας τοὺς χιτῶνας ὡς ἐπὶ [illegible], καὶ ἐπὶ [illegible]· [illegible] γὰρ [illegible] τοῦ ὄχλου· καὶ τῷ σχήματι θέλων ποιῆσαι [illegible], ἐποίησε τοῦτο, δεικνὺς αὐτοῦ τὴν ἀσχημοσύνην· τὴν γύμνωσιν τῆς ψυχῆς, καὶ σύμβολον τοῦ διαρραγῆναι τὴν παλαιὰν ἀρχιερωσύνην τὸ ἔνδυμα· ἐπειδὴ δὲ ἡ [illegible] ἱερατικὴ [illegible] ἐξέπεσε· [illegible], [illegible] ὁ ὄχλος [illegible] ἵνα [illegible] ἔνοχος θανάτου [illegible]. πρὸς τὸ [illegible] αὐτῷ, [illegible] αὐτὸν [illegible].

Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ· ὅτε οὐκ ἀπεκρίθη, τότε ἐνεδείξαντο κατ' αὐτοῦ [illegible]· καὶ [illegible] αὐτὸν λέγοντες· προφήτευσον ἡμῖν Χριστέ, τίς ἐστιν ὁ παίσας σε. τοῦτο δὲ εἶπον, ἐπειδὴ προφήτην αὐτὸν ἔλεγον οἱ πολλοί. ὁ δὲ πάντων ἠνέσχετο διὰ [illegible] χάριν, [illegible].

Ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία

ξζ ἄρνησις Πέτρου

ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημέ-
νου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ
εἰς τὸν ἀγρὸν τοῦ κεραμέως καθὰ συνέταξέ μοι Κύριος·
Ἐπειδὴ μὲν κατακέκριτο ὑπὸ τοῦ Πιλάτου ὁ Ἰησοῦς· ὁ πα-
ραδιδοὺς αὐτὸν Ἰούδας· οὐ νομίζων θανάτου ψῆφον ἐ-
ξοίσειν κατ' αὐτοῦ τοὺς ἀρχιερεῖς· καὶ προγνοὺς τοῦτο γὰρ
ἐν συμβουλίᾳ, δυνάμενος εἶδε τὸν Ἰησοῦν κατακριθέντα· ἤτοι ἐπὶ τὸν
Ἰούδαν ἀναφέρεται τό, κατεκρίθη· αἰσθόμενος οἷον κακὸν ἦν ἐ-
ποίησεν ὑπὸ Θεοῦ καταδικασθείς· ἢ ὅμως αὐτὸ τὸ τιμώμενον ἄξιον ἰδὼν ἐξ αὐτοῦ
συνταγμάτων πάρεδρον, ἕως εἰς παρεδόθη τῷ Πιλάτῳ, ἀπεδέχετο αὐ-
τὸ αὐτοῦ ἕως καιροῦ· ὡς χωρῆσαι τὴν μεταμέλειαν· εἰ
καὶ ὀψὲ δέ, ἀλλ' ὅμως τὸ ἐν αὐτῷ λείμματα τῶν Χριστοῦ λόγων, ἐνί-
κησε τὴν φιλαργυρίαν· δεικνὺς ὅτι καὶ ποθὲν κατεφρό-
νησεν μεμαθήκει· τάχα δὲ καὶ ἰδὼν τὸν Ἰησοῦν παραδοθέντα Πι-
λάτῳ, ὑπεμνήσθη ὅτι καὶ τοῦτο εἰρηκὼς ὁ Ἰησοῦς, καὶ ὅτι πάλιν
ἀνίσταται· διὸ οὐ μετὰ τὴν ἀναφορὰν αὐτοῦ ἔδοξεν ἐκ τοῦ λόγου· πρὸ
δὲ τῆς τοῦ Πιλάτου κατακρίσεως, τὴν μετάνοιαν δείκνυσι·
φησὶ δέ, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον· οἰόμενος πλά-
μυσαν· διὸ ἀκούσας ὅτι τί πρὸς ἡμᾶς σὺ ὄψει· ῥίπτει τὰ ἀρ-
γύρια, καὶ ἀπήγξατο· μὴ φέρων τὴν ὕβριν τοῦ ἔργου λύπην.
ὅρα δὲ εἰκάζουσι τῇ ὕβρει τοῦ συνεδρίου, ἐκεῖ ἔρριψε τὰ
ἀργύρια· καὶ τάχα ἐναπέρριψεν αὐτὰ κατὰ τὸν ναόν· ἐν ᾧ ὄντων
εἶπον τῷ, τί πρὸς ἡμᾶς σὺ ὄψει, διὰ τοῦ λέγοντος
τό, ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν· καὶ ἀφ' ἑαυτοῦ ὁμοίως καὶ κατὰ τοῦ
νομίζοντες ὅτι ἀπέδοσαν, οὐ βλάπτει ἐλευθεροῦν ἑαυτὸν τοῦ
κρίματος, ἐποίησε τοῦτο· καὶ ἀπελθών, ἀπήγξατο· νομίζων
ὅτι οὐ δυσωπεῖται καὶ ἐκεῖ τὸν λόγον περὶ τῶν ἁμαρτιῶν· ἴσως δὲ ἀλλά
προλαβεῖν τὸν Ἰησοῦν τεθνηξόμενον· καὶ ἀπαρτήσας αὐτῷ,
ἱκετεύσειν γυμνῇ τῇ ψυχῇ, ὁμολογῶν τὴν καθ' ἑαυτοῦ κρίσιν.
ὡς δὲ ἐχθῆναι αὐτῷ τὴν ὁμολογίαν, οὐκ ἔτι ἠσχύνη
δι' ἀνέθαμεν· ἀλλ' ἐν μόνον πορεῖ τοῦτον, ἐγκαλύψειεν. ὡς ὁ θεσπέ-
σιος Λουκᾶς φησὶν ἐν ταῖς Πράξεσιν:: Καὶ ἀπελθὼν ἀπήγξατο.

ἑρμη

Ἀπήγξατο μὲν εἰ καὶ διὰ τοῦ ὕβρους μεταμονῶν, ἀλλ' οὐ κατ' ἐπι-
γνῶσιν· καὶ γέγονε πνικτικὸς καὶ ἀκάθαρτος. ἀπομείνας τῇ
σαρκὶ τοῦ αἵματος· Καὶ τὰ ἐν δευτέρῳ κεφαλαίῳ τῆς πρώτης

αἱ οὖν τρεῖς ἀρνήσεις ἐν νυκτί· καὶ πρὶν ἀναφανῆναι τὸ σημεῖον
τῆς ἡμέρας· τὸ ἀμφὶ τὴν δ΄ ὥραν μὲν τῆς φυλακῆς. τὸ δὲ
καθ' ἀλεκτοροφωνίαν ἠρνήσατο. ὅτι λέγεται ἡ νὺξ παρ' ἑ-
βραίοις ἐγγίζειν, ἀσύγγνωστος ἦν· ὅτι οἱ μὲν ἀκού-
σαντες τοῦ ἰδίου Δαυὶδ· εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶ-
τες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν, οὐ κατέμενον μετὰ τῶν
ἐν τῷ πυλῶνι καὶ τῇ αὐλῇ τῇ τοιαύτῃ. ὅπου ποιοῦσιν
ἀρνεῖσθαι τὸν Ἰησοῦν. ποίημα τοῦτο ὑπὲρ οὗ ἀρνησαμένου, ἅπαξ
ἐφώνησεν ὁ ἀλέκτωρ. ὅτε δὲ ἠρνήσατο πάλιν ἄλλας δύο
ἀρνήσεις, ἐπήγαγε δεύτερον ἀλέκτωρ φωνήν. καὶ οὕτως δεῖ νοεῖν τὸ
εἰρημένον τῷ Μάρκῳ· πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρ-
νήσῃ με τρίς. ἐν τούτοις ὁ Πέτρος ἐξελθὼν ἀπὸ τῶν ἀρνήσεων
τοιούτων αὐτόν· ἐκ τούτου ἐν τῷ ἡμαρτηκέναι τοῦ ἱερέως,
τοῦ ἱερέως τοῦ ἐν τῷ οἴκῳ ὅσοι ἥσαντο ἐν τῇ ἁμαρτίᾳ ἀπὸ τὸν κλαυθμόν :·

Πρωΐας δὲ γενομένης σημειοῦ· ἐν ταύτῃ θέσει σημειώσας ὅτε τὸν
Ἰησοῦν παραδιδόασιν ἔκδοτον τῷ ἡγεμόνι οἱ ἄρχοντες τοῦ Ἰουδαίων
ἔθνους· μήπω φαγόντες τὸ πάσχα, ὡς φησιν ὁ Ἰωάννης. Κατὰ
τοῦτον οὖν τὸν λόγον φαμὲν ἐν τοῖς προλαβοῦσι· μὴ δὲ
αὐτὸν τὸν Κύριον φαγόντα σὺν τοῖς μαθηταῖς τὸ τυπικὸν πάσχα·
τουτέστι τὸ θυόμενον πρόβατον· πάσχα γὰρ ἀληθινὸν αὐτοῖς
δίδωσι φαγεῖν, τὸ ἴδιον σῶμα· ὅπερ καὶ αὐτὸς τοῦ ἰδίου
γὰρ σώματος τῆς τοῦ ἄρτου ἐπιδόσεως ἔφασκεν, ὡς φησιν ὁ Λουκᾶς·
ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν·
τοῦτο λέγων, τὸ τίμιον αὐτοῦ σῶμα, οὐ τὸ τυπικόν :–

ξζ Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμε-
ληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι
καὶ τοῖς πρεσβυτέροις, λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον.
οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια
ἐν τῷ ναῷ ἀνεχώρησε. καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ
ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· οὐκ ἔξεστι βαλεῖν
αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. συμβού-
λιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κε-
ραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς
ἐκεῖνος, ἀγρὸς αἵματος ἕως τῆς σήμερον. τότε ἐπλη-
ρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· Καὶ

σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων; ζητήσας ἀκούων περὶ τῶν ἀμφιβό-
λων ἐρωτᾷ οὕτως· ὁ δὲ ἰησοῦς ἠρέμα ὑποσημαίνει τό, ναί· ὡς πρὸ
τῶν ἀμφοῖν βασιλεύς, ἔφη τό, σὺ λέγεις· ἐπειδὴ ὁ μὲν ἀρχιερεὺς δι-
καστικῶς ἠρώτησε λέγων· ἵνα ἡμῖν εἰ σὺ εἶ ὁ βασιλεύς· ὁ πιλάτος
δὲ ἀποφαντικῶς· ὅρα εἰ μὴ τὸ μὲν σὺ εἶπας τῷ ἀρχιερεῖ
λεγόμενον, τὸν δισταγμὸν αὐτοῦ λεληθότως ἐλέγχει· τὸ δὲ σὺ λέγεις
τῷ πιλάτῳ, τὴν ἀπόφασιν αὐτοῦ κυροῖ· ἤτοι μέσως ἀποκρί-
νεται· μήτε ἐστὶν ἐμοῦ· ἦν γὰρ βασιλεὺς τοῦ ἰσραήλ· μήτε ἐστὶ πῶς, ναί·
ἵνα μὴ δῷ εὔλογον ἀφορμὴν τῷ πιλάτῳ, καταδίκης:–

Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἕν· διὰ τὸ ἀμετάτρεπτον
αὐτῶν, οὐδὲ αὐτοῖς ἀντιφθέγγεται· καθόλου δὲ οὐδὲ τότε τῷ πιλάτῳ
ἀπεκρίθη· ὅτι ἀμφιβάλλει εἰ χρὴ αὐτὸν πρὸς τὰς ἀδίκους
κατηγορίας ἀπολογεῖσθαι· καὶ ὅτι διὰ χρονίου μὲν ἐπιβουλὴ αὐτῶν·
δῆλον γὰρ ἦν· ὅτι εἰ ἀπελογήσατο καὶ παρέστησεν ἑαυτὸν οὐδενὶ
ἔνοχον ἐγκλήματι, ἀπέλυσεν ἂν ὁ δικαστὴς αὐτόν· λαμβάνων ὁ-
δὸν τοῦ χρηματιστηρίου αὐτοῦ ἀποφήνασθαι· ὅθεν καὶ ὁ ἡγεμὼν
ἐθαύμαζεν αὐτόν· πῶς δυνάμενος εἰπεῖν πολλὰ εἰς ἀπολογίας
ἀποσιωπᾷ· διὸ καὶ ὡς ἤθελον αὐτὸν ἀπολῦσαι. ἐπειδὴ τοῦ ζήλου αὐτῶν
προσδιεγνωκότος· ὅτι παρὰ φθόνου παρεδόθη· καὶ τῷ πιλάτῳ δῆλον
ἦν· οὐ μόνον δὲ θαυμάζει, ἀλλὰ καὶ λίαν· τάχα μὲν διὰ τὸ
ἄτρεπτον καὶ ἀτάραχον αὐτοῦ πρὸς θάνατον· καὶ τὸ ἐν τούτοις
γαλήνιον τοῦ προσώπου· τάχα δὲ, καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ
μακροθυμίαν ἐθαύμαζεν:–

Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ
δέσμιον ὃν ἤθελον· εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον
βαραββᾶν· συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ πιλάτος·
τίνα θέλετε ἀπολύσω ὑμῖν· βαραββᾶν, ἢ ἰησοῦν τὸν λεγόμενον
χριστόν· ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν· καθη-
μένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ
γυνὴ αὐτοῦ λέγουσα· μηδὲν σοὶ καὶ τῷ δικαίῳ τούτῳ· πολ-
λὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν:–

Εἰκὸς ἄρτι ὑποσπόνδων γενομένων ῥωμαίοις ἰουδαίων, τὸ
κεχαρίσθαι αὐτοῖς ἐν τῇ ἑορτῇ συγχωρεῖσθαι· καὶ σαοὺλ δὲ συγχωρή-
σαντος τῷ λαῷ, τὸν ἰωνάθαν δηλοῖ· πάτριον αὐτοῖς τὸ τοιοῦτο·
ὡς ἐνόμιζον δὲ ὅτι τὸν ἀναίτιον ἢ τὸν μυρίοις ἐγκλήμασιν

τέλος

ἀρχή

σον τὸ ἔργον ἀλλ' ὑπὸ κατασ[illegible]θεός. τοῦτο ποιεῖ· οὐ ζητήσας ἐρημαῖον τόπον καὶ ἐρημίας· οὐδὲ μὴν καθ' ἑαυτὸν μαθητὰς παρ' ἑαυτοῦ ἰδοὺ λέγει· εἰ μὴ ἐβουλόμην ἐμαυτὸν χρήσασθαι· ἢ δὲ καθ' ὅ γε ἑτέρου καὶ ποιῆσαι τοῦτο· ἀλλ' ἵνα τὸ ὄνομα σου ἐξάγειν με αὐτὸν τοῦ ἑκουσίου ἀναιρεῖ.

ἀπολλ Οὐκ ἐναπέθανε τῇ ἀγχόνῃ ὁ Ἰούδας, ἀλλ' ἐπεβίω καθαιρεθεὶς πρὸ τοῦ ἀποπνιγῆναι. καὶ τοῦτο δηλοῦσιν αἱ τῶν ἀποστόλων πράξεις· ὅτι πρηνὴς γενόμενος, ἐλάκησε μέσος· καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ. τοῦτο δὲ σαφέστερον ἱστορεῖ Παπίας ὁ Ἰωάννου μαθητής, λέγων οὕτως ἐν τῷ τετάρτῳ τῆς ἐξηγήσεως τῶν κυριακῶν λόγων· μέγα δὲ ἀσεβείας ὑπόδειγμα ἐν τούτῳ τῷ κόσμῳ περιεπάτησεν ὁ Ἰούδας· πρησθεὶς ἐπὶ τοσοῦτον τὴν σάρκα, ὥστε μηδὲ ὁπόθεν ἅμαξα ῥᾳδίως διέρχεται, ἐκεῖνον δύνασθαι διελθεῖν· ἀλλὰ μηδὲ αὐτὸν μόνον τὸν ὄγκον τῆς κεφαλῆς αὐτοῦ. τὰ μὲν γὰρ βλέφαρα τῶν ὀφθαλμῶν αὐτοῦ φασὶ τοσοῦτον ἐξοιδῆσαι, ὡς αὐτὸν μὲν καθόλου τὸ φῶς μὴ βλέπειν· τοὺς ὀφθαλμοὺς δὲ αὐτοῦ, μηδὲ ὑπὸ ἰατροῦ διὰ διόπτρας ὀφθῆναι δύνασθαι· τοσοῦτον βάθος εἶχον ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας. τὸ δὲ αἰδοῖον αὐτοῦ, πάσης μὲν ἀσχημοσύνης ἀηδέστερον καὶ μεῖζον φαίνεσθαι· φέρεσθαι δὲ δι' αὐτοῦ, τοὺς ἐκ παντὸς τοῦ σώματος συρρέοντας ἰχῶράς τε καὶ σκώληκας εἰς ὕβριν, δι' αὐτῶν μόνων τῶν ἀναγκαίων. μετὰ πολλὰς δὲ βασάνους καὶ τιμωρίας ἐν ἰδίῳ χωρίῳ φασὶ τελευτήσαντος· καὶ τοῦ ζῆν· ἀπὸ τῆς δυσωδίας ἔρημον καὶ ἀοίκητον τὸ χωρίον μέχρι τοῦ νῦν γενέσθαι· ἀλλ' οὐδὲ μέχρι σήμερον δύνασθαί τινα ἐκεῖνον τὸν τόπον παρελθεῖν, ἐὰν μὴ τὰς ῥῖνας ταῖς χερσὶν ἐπιφράξῃ· τοσαύτη διὰ τῆς σαρκὸς αὐτοῦ καὶ ἐπὶ γῆς ἔκρυσις ἐχώρησεν.

Ὁ δὲ Ἰησοῦς ἐστάθη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ, σὺ λέγεις. καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. τότε λέγει αὐτῷ ὁ Πιλᾶτος· οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.

ἀπε Πῶς ὁ δημοσίᾳ ὡς ἀγελαῖος μάστιξι παραδοθεὶς ὑπ' αὐτοῦ· ἐρωτᾷ ὁ Πιλᾶτος

τί γὰρ κακὸν ἐποίησεν· οἱ δὲ περισσῶς ἔκραζον λέγον-
σταυρωθήτω· ἰδὼν δὲ ὁ πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ
ἀλλὰ μᾶλλον θόρυβος γίνεται· λαβὼν ὕδωρ ἀπενίψα-
το τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· ἀθῷός
εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσ-
θε· καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν· τὸ αἷμα αὐτοῦ
ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· τότε ἀπέλυσεν αὐ-
τοῖς τὸν βαραββᾶν· τὸν δὲ ἰν̄ φραγελλώσας, παρέ-
δωκεν ἵνα σταυρωθῇ· τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος
παραλαβόντες τὸν ἰν̄ εἰς τὸ πραιτώριον, συνήγαγον
ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν
τὰ ἱμάτια αὐτοῦ, περιέθηκαν αὐτῷ χλαμύδα κοκκί-
νην· καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν· ἐπέθηκαν
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν
αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαι-
ζον αὐτῷ, λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων·
καὶ ἐμπτύσαντες εἰς αὐτόν, ἔλαβον τὸν κάλαμον· καὶ ἔ-
τυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ· καὶ ὅτε ἐνέπαιξαν
αὐτόν, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα τὴν κοκκίνην· κ(αὶ)
ἐνέδυσαν αὐτόν, τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον
αὐτὸν εἰς τὸ σταυρῶσαι· ἐξερχόμενοι δέ, εὗρον ἄνθρωπον κυρη-
ναῖον ὀνόματι σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ
τὸν σταυρὸν αὐτοῦ:-

Λαβὼν ὕδωρ ἀπενίψατο· ὡς ἀθῷος ὢν τοῦ πράγματος ὁ πιλᾶτ(ος)· ἀμπε
δίκαιον λέγων τὸν χριστόν· παρὰ δὲ τὰ ῥωμαίων ἔθη ῥωμαῖος ὤν, ἐ-
νίψατο τὰς χεῖρας· ἰουδαϊκὸν ἔθος ποιῶν· ὀνειδί-
ζων αὐτούς· καὶ ὡσανεὶ λέγων μὴ κοινωνεῖν αὐτὸν αὐτοῖς τοῦ
θανάτου ἰῦ· οὐ καταλλακτὸς δέ· ἐνδεικνὺς ἀναιτησίαν ἀ-
ποδείξας· ἢ ταυτὸν τυράννων ἐποίει· προβέβληκε τοῦ δι-
καίου, τὴν ἐς αὐτοὺς αἰδῶ· καὶ κύριος ὢν τοῦ ἀπολῦσαι αὐτὸν
ὡς ἀναίτιον, μὴ ταῖς ἐκδεδωκέναι αὐτόν· μονομάχων διὰ τοῦτο
ἐλευθεροῦν ἑαυτὸν τῆς ἁμαρτίας· διὸ καὶ ὡς διαλαλοῦντα
ἰουδαῖοι· ἔλεγον· ὅτι ἡμεῖς ἔνοχοι ἐσμὲν τούτου, οὐχὶ σύ·
ἤτοι εἰ ὅλως γίνεται τιμωρία, ἐφ' ἡμᾶς ἔλθοι καὶ μὴ κατὰ σοῦ·
ὃ καὶ γέγονεν· ἐπεὶ κατέσχε γὰρ αὐτοὺς τὰ ῥωμαίων κακά·

ὑποπτεύων Ἰησοῦν αἰτήσονται· ὥσπερ τοῦτο ὁ Πιλᾶτος· ὡς δικαίοις οὖσιν· ἢ διὰ τοῦτο, ὅτι οὐδὲ μίαν σαφῆ ἔλεγχον εἶχον κατ' αὐτοῦ· τοῖς πολλοῖς δὲ ὑπονοῶν ἂν περιγράφοις ἐντυχών, ἐρῶν καὶ αὐτὸν τὸν Βαραββᾶν, Ἰησοῦν λεγόμενον. οὕτως γοῦν εἶχεν ἡ τοῦ Πιλάτου πεῦσις ἐκεῖ· τίνα θέλετε τῶν δύο ἀπολύσω ὑμῖν· Ἰησοῦν τὸν Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν. ὡς γὰρ ἔοικε, συνωνυμίαν εἶχεν τοῦ λῃστοῦ ὁ Βαραββᾶς· ὅπερ ἑρμηνεύεται διδασκάλου υἱός· συντιθέμενον οὖν τὸ τοῦ Βαραββᾶ ὄνομα, σημαίνει υἱὸς τοῦ διδασκάλου ἢ κυρίου. Καὶ τίνος ἄρα διδασκάλου υἱὸν χρηματίζειν τὸν ἐπίσημον λῃστήν, ἢ τοῦ ἀνδρὸς τῶν αἱμάτων· τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου· ὃν καὶ μέχρι τῆς δεῦρο μᾶλλον αἱροῦνται οἱ παρ' αὐτοῦ μαθόντες ἀνθρωποκτονεῖν, ἢ τὸν ζωοποιοῦντα τοὺς ἀνθρώπους, Ἰησοῦν Χριστόν:–

ἀπὶ Ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ. Κρινομένου ὑπὸ Πιλάτου, ἐχρημάτιζε τῇ τούτου γυναικί· ἵνα αὐτὴ μὲν σιωπῇ, τὴν δ' ἀδικίαν καταπαύσῃ. πῶς δὲ χρηματισμός τινος, ὅτι οὐ κατ' αὐτόν, ἀλλ' αὐτὴν κατακρίνει. διὰ τί δὲ τοῦτο αὐτὸς οὐκ εἶδεν, ἢ ἵνα μὴ σιωπηθῇ τὸ ὄναρ· ἢ ὅτι οὐκ ἐβούλετο· ἢ ὅτι ἀνάξιος ἦν· ἢ ἀκούσασα ὑπὲρ αὐτοῦ ἐμφανῶς ἡ γυνή, συμπαθήσει. οὐ γὰρ μόνον ἦν διὰ τὸ ἐνύπνιον, ἀλλὰ καὶ πολλὰ ἔπαθε, καὶ ἐν νυκτί· πρὸς τὸ φοβερώτερον γενέσθαι. ἄλλως τε δέ, προνοίας ἔργον τὸ ὄναρ· οὐ λεγόμενον μέν, τί ἦν· δεικνύον δέ, ὅτι οὐχ ἵνα μὴ πάθῃ ὁ Ἰησοῦς ἐδείχθη, ἀλλ' ἵνα σωθῇ ἡ γυνή· μακαρία δέ, ἀποκρούσασθαι βουλομένη τὸ παθεῖν· ἵνα μὴ ὑπὲρ πάθῃ. εἰ δὲ συμπαθὴς ὑπῆρχεν αὐτῇ τῆς ποτε ὑπὸ Πιλάτου κυριευομένης αὐτῶν ἐθνῶν ἐκκλησίας, καὶ οὐκέτι οὔσης αὐτοῦ ὑποχειρίου διὰ τὴν ἀρχὴν ποιεῖν ζητήσεως· ἀλλ' ὁ φίλος γὰρ ἡ γυνή:

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡγεμών, εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν· οἱ δὲ εἶπον, Βαραββᾶν. λέγει αὐτοῖς ὁ Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον Χριστόν. λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω. ὁ δὲ ἡγεμὼν ἔφη·

τί γὰρ κακὸν ἐποίησεν· οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· σταυρωθήτω. ἰδὼν δὲ ὁ πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ· ἀλλὰ μᾶλλον θόρυβος γίνεται· λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν· τὸν δὲ ἰν̄ φραγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν ἰν̄ εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· καὶ ἐκδύσαντες αὐτὸν τὰ ἱμάτια αὐτοῦ, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην· καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν· ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων. καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον· καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτὸν, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα τὴν κοκκίνην· καὶ ἐνέδυσαν αὐτὸν, τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. ἐξερχόμενοι δὲ, εὗρον ἀν̄ον κυρηναῖον ὀνόματι σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σρ̄ὸν αὐτοῦ :·

Λαβὼν ὕδωρ ἀπενίψατο· ὡς ἀθῶος ὢν τοῦ πράγματος ὁ πιλᾶτ· δίκαιον λέγων τὸν σ̄ρ̄α· παρὰ δὲ τοῖς [illegible], ἐνίψατο τὰς χεῖρας· ἴσως ἰουδαϊκὸν ἔθος ποιῶν. ὁμειδιάζων αὐτοῖς· καὶ ὥσπερεὶ λέγων μὴ κοινωνεῖν αὐτὸν αὐτοῖς τοῦ θανάτου τοῦ ἰῦ. οὐ καθαρὸς [illegible] δέ· ἐπειδὴ δυνάμενος ἀπολῦσαι αὐτὸν προδέδωκεν· ἢ ταῦτα τῶν τυράννων ἐποίει· προτιμήσας τοῦ δικαίου, τὴν [illegible]. καὶ κύριος ὢν τοῦ ἀπολῦσαι αὐτὸν ὡς ἀναίτιον, [illegible] ἐκδέδωκεν αὐτόν· μόνας δὲ διὰ τοῦτο ἑλκύσθαι εἰς αὐτὸν τὴν ἁμαρτίαν. διὸ καὶ [illegible] ἰουδαῖοι. ἔλεγον· ὅτι ἡμεῖς ὑπεύθυνοι ἐσμὲν τούτου, οὐ σύ· ἤτοι εἰ ὅλως γένηται τιμωρία. ἐφ' ἡμᾶς ἐλθέτω καὶ ἐπὶ τὰ τέκνα. ὃ καὶ γέγονεν· ἐπεὶ κατέχουσι γὰρ αὐτοὺς τοῖς ῥωμαίων κακοῖς.

ἀπε

ὑπεύθυνον ἀπολύσαι· ἢ τοῦτον τὸν ἀναίτιον. ὡς δίκαιον ὄντα· ἢ διὰ τὸ, ὅτι οὐδὲ μὴν σαφῆ ἔλεγχον εἶχον κατ' αὐτοῦ· παλαιοῖς δὲ πάνυ ἀντιγράφοις ἐντυχὼν, εὗρον καὶ αὐτὸν τὸν βαραββᾶν, ἰν λεγόμενον· οὕτως γοῦν εἶχεν ἡ τοῦ πιλάτου πεῦσις ἐκεῖ· τίνα θέλετε τῶν δύο ἀπολύσω ὑμῖν· ἰν τὸν βαραββᾶν, ἢ ἰν τὸν λεγόμενον χν. ὡς ἔοικε γὰρ, πατρωνυμικὸν ἦν τοῦ λῃστοῦ ὁ βαραββᾶς· ὅπερ ἑρμηνεύεται διδασκάλου υἱός· συντιθέμενον γὰρ τὸ τοῦ βαραββᾶ ὄνομα, σημαίνει υἱὸς τοῦ διδασκάλου ἡμῶν. Καὶ τίνος ἄρα διδασκάλου υἱὸν χρὴ νομίζειν τὸν ἐπίσημον λῃστήν, ἢ τοῦ ἀνδρὸς τῶν αἱμάτων· τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου· ὃν καὶ μέχρι τῆς δεῦρο μᾶλλον αἱροῦνται. οἱ παρ' αὐτοῦ μαθόντες ἀνθρωποκτονεῖν, ἢ τὸν ζωοποιοῦντα τοὺς ἀνθρώπους, ἰν χν:-

ἀρχή Ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ. καιρὸν μὲν ἀπολῦσαι τὸν ἀναίτιον· ἐχρημάτιζε τῇ τούτου γυναικί· ἵνα αὕτη μὲν σωθῇ, τὴν δ' ἀλήθειαν καταπολαύσῃ· τῷ δὲ χρηματισμῷ, τυχὸν, ὅτι οὐ καρπὸν· ἀλλ' αὐτὸν κατακρίνει. διατί δὲ τοῦτο αὐτὸς οὐκ εἶδεν, ἢ ἵνα μὴ σιωπήσῃ τὸ ὄναρ. ἢ ὅτι οὐκ ἐβουλήθη· ἢ ὅτι ἀνάξιος ἦν· ἢ ἀκούσας αὐτὸ ὑπὸ σεμνῆς τῆς γυναικὸς, συμπαθήσει. οὐ γὰρ μόνον δὲ τὸ ἐνύπνιον· ἀλλὰ καὶ τὸ πολλὰ ἔπαθε. καὶ ἐν νυκτί· πρὸς τὸ φοβερώτερον γενέσθαι. ἄλλως τε δὲ, παρρησίας ἔργον τὸ ὄναρ· οὐ λεγόμενον τί ἦν· δεικνύον δὲ, ὅτι οὐχ ἵνα μὴ πάθῃ ὁ ἰς ἔδει χθῆ· ἀλλ' ἵνα σωθῇ ἡ γυνή. μακαρία δέ. ἀπόσχου σὺ βούλομαι τὸ παθεῖν· ἵνα μὴ ὑπερπάθῃ· εἰ δὲ σημεῖον αὐτῆς ποτε ὑποπτεύοντος κυριεύοντες αὐτοῦ τῶν ἐθνῶν καὶ οὐκέτι ἠκούσθη αὐτοῦ, ὑποχειρίου δὲ αὐτὸν ἀρχῆς ποιεῖν ζητεῖ· ἀλλ' ὁ φύλος γὰρ ἡ γυνή:

ὅτι τῇ αὐτοῦ δυνάμει τοῦτο δεδύνηται. Καὶ μέλλοντα ἐχρῆν
ἐν μέσῳ τῆς πείρας ἀπιστῆσαι, συνεχώρησεν αὐτὸν μικρὸν [illegible]
τεσχεθῆναι αὐτὸν τῶν ὑδάτων· ὁ μὲν διδάσκων αὐτοῦ τὴν ὀλιγοπι-
στίαν· ἐπεὶ καὶ μείζονα τὸν τοῦ πλοίου οἶκον ὁ ι̅ς̅· ἐπαύσατο ὁ ἄνεμος καὶ
τὸν Πέτρον· εἴ που ἐπαύσατο μὲν ὁ ἄνεμος, δείκνυσι τῆς ἰα-
μήσεως τὴν αἰτίαν τούτου ἐπεκτείνετε μὴ ἐλήλυθε· ἐπεὶ τὸ αὐ-
ξηθῆναι τὸ θαῦμα· οὐ κελεύσας τὸ ξένον ὁ σ̅ρ̅ τοῖς ἀνέμοις πα-
σασθαι, ἀλλ' αὐτὸς ἐπελάβετο αὐτοῦ· ὅτι καὶ ἐκείνου πί-
πτοντος ἐδέει. δείκνυσι δὲ ὅτι οὐχ ἡ τοῦ ἀνέμου ἐμβολή, ἀλλ' ἡ ἐ-
κείνου ὀλιγοπιστία τὴν περίστασιν εἰργάσατο· φησὶ τί
[illegible] ὀλιγόπιστε· εἰ γὰρ μὴ ἠπίστησας, καὶ πρὸς τὸν ἄνε-
μον ἂν ἐκαρτέρησας· διὰ τοῦτο ἐπιλαμβανόμενος αὐτοῦ, τὸν
ἄνεμον ἀφίησι μένειν· δηλῶν ὅτι οὐδὲν ἐκεῖνος παραβλάψει·
ὅπου ἡ πίστις [illegible]· ἀναβάντος δὲ τοῦ πλοίου, τότε
» ἐπαύσατο:— Καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο:—

Ὅμως οὖν οὐδὲ διὰ τὴν δεῖξιν καὶ διὰ τὴν τῶν ὑδάτων τοῦ σ̅ρ̅ς̅ ἔσφερε το-
[illegible]· ἀλλ' οὐ πρὸς αὐτὸν βλέψαι τοὺς μαθητὰς τῶν· λίαν γὰρ ἐκ
περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ ἐθαύμαζον· οὐ γὰρ
συνῆκαν ἐπὶ τοῖς ἄρτοις· ἦν γὰρ ἡ καρδία αὐτῶν πεπωρωμένη:— ζ´

» Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμμα-
» τέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων· καὶ ἰδόντες τινὰς τῶν μα-
» θητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ' ἔστιν ἀνίπτοις, ἐσθίοντας
» ἄρτους, ἐμέμψαντο. οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι,
» ἐὰν μὴ καὶ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦν-
» τες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ ἀπὸ ἀγορᾶς, ἐὰν
» μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ

» ἐταράχθησαν· καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν· καὶ λέγει
» αὐτοῖς· θαρσεῖτε ἐγώ εἰμι· μὴ φοβεῖσθε· καὶ ἀνέβη πρὸς αὐ-
» τοὺς εἰς τὸ πλοῖον καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισ-
» σοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ ἐθαύμαζον· οὐ γὰρ συνῆκαν ἐπὶ
πῆ ἐτ αὐ ἐκ » τοῖς ἄρτοις· ἦν γὰρ ἡ καρδία αὐτῶν πεπωρωμένη· καὶ δια-
» περάσαντες ἦλθον ἐπὶ τὴν γῆν Γεννησαρέτ· καὶ προσωρμίσθη-
» σαν· καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου, εὐθέως ἐπιγνόν-
» τες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου· περιδραμόντες ὅλην τὴν περί-
» χωρον ἐκείνην, ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς
» ἔχοντας περιφέρειν, ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστί· καὶ ὅπου
» ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγροὺς ἐν ταῖς ἀ-
» γοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας· καὶ παρεκάλουν αὐ-
» τὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ
» ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσώζοντο:-

Ἀπολύσας ὁ Ἰς τοὺς ὄχλους· τοὺς μὲν ἐπὶ τὸ εὐλογεῖσθαι παραμένον-
τας ὡς εἰκός· τοὺς δὲ ἐπὶ θεραπείᾳ τινί· ἀνῆλθεν εἰς ὄρος
προσεύξασθαι οἷα ἄνθρωπος ὡς εἰκός· ἡμᾶς διδάσκων ἔχεσθαι τοῦ
ἔργου τῆς προσευχῆς· καὶ μαθητὰς δὲ ἤδη κινδυνεύοντας ἐπέρασε·
αὐτὸς μὲν ἦν ἐκεῖ μόνος· τὸ δὲ πλοῖον τῶν μαθητῶν μέσον ἦν
τῆς θαλάσσης ἦν· προσωτέρω χωρεῖν ἀπὸ τῶν ἀνέμων ἐναν-
τίων ὄντων κωλυόμενον· συνεχώρει δὲ καὶ τοῦτο ὁ Χς εἰς μείζο-
να τοῦ θαύματος ἀπόδειξιν· ὅτι καὶ τῶν ἀνέμων ἐναν-
τίων ὄντων καὶ τῶν κυμάτων ὑπὸ τῶν ἀνέμων ἐγειρομένων
ἐπιβαίνων ἐπὶ τῶν ὑδάτων βαδίζων.

» Καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτός. Τετάρτην φυλακὴν
λέγει τὴν μετὰ τὴν ἐνάτην ὥραν· ἤτοι τὴν δεκάτην ἢ τὴν με-
τ' ἐκείνην· τέσσαρας γὰρ φυλακὰς ἡ θεία γραφὴ λέγει τῆς νυκτὸς
εἰς τρεῖς ὥρας ἑκάστην διαιροῦσα· καὶ τάχα πρώτη φυλακὴ
κατὰ τὸν τῆς ἀναγωγῆς λόγον, μέχρι τοῦ κατακλυσμοῦ·
δευτέρα μέχρι νομοθεσίας· τρίτη μέχρι τῆς παρουσίας· τετάρ-
τη, ἐν ᾗ ἐλθὼν τῇ σαρκί, ἐφίσταται ὁ Ἰς τοῖς μαθητευομέ-
νοις αὐτῷ:- » Ἰδόντες δὲ αὐτὸν περιπατοῦντα ἐπὶ
τῆς θαλάσσης. Τῶν μαθητῶν ἰδόντων καὶ ἐκπλα-
γέντων ἐπὶ τῇ θέᾳ, ὡς καὶ φάντασμα εἶναι νομίσαι τὸ γινό-
μενον, καὶ ἀνακραξάντων ὑπὸ τοῦ φόβου, φησὶ πρὸς αὐτούς·

ὡς· ὥσπερ γὰρ ἐκεῖνοί φησι περὶ ὧν ὁ λόγος, ἄλλοις χείλεσι τι-
μῶσι τὸν θεὸν· πόῤῥω αὐτοῦ τὰς διανοίας ἔχουσι· καὶ
τὴν τοῖς αὐτὸν σέβουσιν ἐπηγγελμένην· προστάγμασι διδασκαλί-
αις ἀνθρώπων, οὕτω καὶ ὑμεῖς τοῖς ὁμοιοτρόποις, τὴν τοῦ θεοῦ παραινου-
μένην ἐντολήν· καὶ τὸν ἐπιφαινόμενον κοσμοῦντες ἄνθρωπον, τὸν ἐντὸς αἰκιζό-
μενον καταλιμπάνετε· καὶ τοῖς τὴν ἀλήθειαν ἀσκοῦσιν, ἐγκα-
λεῖτε· οἱ τὸ χρῆμα καταδιώκοντες· καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ·
ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε· ἵνα τοῖς ... εὐσέβειαν
καὶ φυλάξαντες διὰ ταύτης· ὑπεριδόμενοι οὖν τῆς τῶν πρεσβυτέρων
παραδόσει, τὴν παρανομίαν προστίθησι τὴν διὰ παραδόσεως
τῶν πρεσβυτέρων εἰσαγομένην· προστάγματα θεῖα ἀντιτιθεὶς αὐτῶν
φωνῇ παραδόσει αὐτῶν· μωσῆς γὰρ εἶπε· τίμα τὸν πατέρα σου καὶ
τὴν μητέρα σου· καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω·
τοιαύτης δὲ οὔσης τῆς νομοθεσίας. καὶ τῆς κολάσεως οὔσης τῆς
ἀπειλῆς ἐπὶ τῇ παραβάσει, προχείρως ὑμεῖς φησὶ παρ[illegible]-
μετε τὸ θεῖον πρόσταγμα, τοῖς τῶν διδασκάλων ἑπόμενοι παρα-
δόσεσιν· ὥστε εἴ τις ἐπαγγείλαιτο κορβᾶν ... ἔχοι τὸ λέ-
γειν θεῷ, ποιήσειν δῶρα καὶ θυσίας. οὐ περὶ τὸ παρέχειν ὤφειλε τοὺς
πατέρας λέγετε μηκέτι μηδὲ ἐξεῖναι τιμῆσαι τὸν πατέρα· ὁ παρ᾽ ἐκεῖναι
[illegible]ροῦντες τοῦ νόμου διὰ παράδοσιν:—

» Καὶ προσκαλεσάμενος τὸν ὄχλον ἔλεγεν αὐτοῖς· ἀκούετέ μου πάν-
» τες καὶ συνίετε· οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς
» αὐτὸν, ὃ δύναται αὐτὸν κοινῶσαι· ἀλλὰ τὰ ἐκπορευόμενα ἀπ᾽
» αὐτοῦ, ἐκεῖνά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· εἴ τις ἔχει ὦτα
» ἀκούειν ἀκουέτω. Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου,
» ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς.
» καὶ λέγει αὐτοῖς· οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε· οὐ νοεῖτε ὅτι πᾶν
» τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοι-
» νῶσαι· ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν· ἀλλ᾽ εἰς τὴν
» κοιλίαν καὶ εἰς ἀφεδρῶνα ἐκπορεύεται· καθαρίζον πάντα
» τὰ βρώματα; ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐ-
» κεῖνο κοινοῖ τὸν ἄνθρωπον· ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ
» διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται· μοιχεῖαι· πορνεῖαι·
» πονηρίαι· φόνοι· κλοπαί· πλεονεξίαι· δόλος· ἀσέλγεια· ὀ-
» φθαλμὸς πονηρός· βλασφημία· ὑπερηφανία· ἀφροσύνη·

κε πα
τὸ τέλ

>> παρέλαβον κρατεῖν· βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν· καὶ
>> χαλκείων καὶ κλινῶν· ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ φαρισαῖοι
>> καὶ γραμματεῖς· διατί οἱ μαθηταί σου οὐ περιπατοῦσι κατὰ
>> τὴν παράδοσιν τῶν πρεσβυτέρων· ἀλλ' ἀνίπτοις χερσὶν ἐσθί-
>> ουσι τὸν ἄρτον· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὅτι καλῶς προε-
>> φήτευσεν ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέ-
>> γραπται· οὗτος ὁ λαὸς, τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία
>> αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με,
>> διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων· ἀφέντες γὰρ τὴν
>> ἐντολὴν τοῦ θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων· βαπ-
>> τισμοὺς ξεστῶν καὶ ποτηρίων· καὶ ἄλλα παρόμοια τοιαῦ-
>> τα πολλὰ ποιεῖτε· καὶ ἔλεγεν αὐτοῖς· καλῶς ἀθετεῖτε τὴν
>> ἐντολὴν τοῦ θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε· μωσῆς
>> γὰρ εἶπε· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καὶ ὁ κακο-
>> λογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω· ὑμεῖς δὲ λέγετε· ἐὰν
>> εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρὶ κορβᾶν· ὅ ἐστι δῶρον, ὃ ἐὰν ἐξ ἐ-
>> μοῦ ὠφεληθῇς· καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ
>> πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ· ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ· διὰ
>> τὴν παράδοσιν ὑμῶν ἣν παρεδώκατε· καὶ παρόμοια
>> τοιαῦτα πολλὰ ποιεῖτε: —

Βουλόμενος ὁ εὐαγγελιστὴς τὴν κατὰ τῶν μαθητῶν κατηγορίαν
εἰπεῖν, ἣν ἐποιήσαντο οἱ γραμματεῖς τε καὶ οἱ φαρισαῖοι
παρατηροῦντες τοῦτο, διαμέσου δὲ διεξέρχεται τίς ἦν ἡ τῶν πρεσ-
βυτέρων παράδοσις· καὶ οὕτως ἐπιφέρει καὶ κείμενα· οὐχ ὅ-
τε δὲ μὴ νίπτεσθαι παντελῶς ἐσπούδαζον οἱ μαθηταί· ἀλλ' ὅτι
τοῦ κυρίου διδάξαντος αὐτοὺς παντελῶς ἐτύγχανε παραιτεῖν τὰ
πέρα τὴν χρείαν· συντελοῦντα τοῦ σώματος· μόνης δὲ ἐπι-
μελεῖσθαι σφόδρα τῆς ἀρετῆς. θεασάμενοι οἱ φαρισαῖοι
τοῦ μὴ νίπτεσθαι, οὐ ποιουμένους φροντίδα κατὰ τὸν τοῦ ἐσθίειν
καιρὸν ὡς παρ' αὐτοῖς ἔθος ἦν, τοῦ [illegible] λέγουσι· τί οὖν
πρὸς τοῦτο ὁ κύριος· ἐπειδὴ ἐν ἐγκλήματι τοῖς μαθηταῖς οὐκ ἐπὶ
παραδόσει νόμου, ἀλλὰ περὶ παραδόσεως τῶν πρεσβυ-
τέρων, φησὶν ἐλέγχων αὐτοὺς ἐμβριθέστερον· ὡς ἐν παροχῇ
[illegible], τὴν ἑαυτῶν ποιοῦσιν ἐπιδεικνύντας· ἐπιφέρει
δὲ καὶ ἡσαΐου τοῦ προφήτου ῥῆσιν, ὡς περὶ αὐτῶν εἰρημένην

» τῶν παιδίων· Καὶ εἶπεν αὐτῇ· Διὰ τοῦτον τὸν λόγον ὕπαγε·
» ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου· Καὶ ἀπελθοῦσα
» εἰς τὸν οἶκον αὐτῆς εὗρε τὸ δαιμόνιον ἐξεληλυθὸς καὶ τὴν θυγατέ-
» ρα βεβλημένην ἐπὶ τῆς κλίνης:—

Μεταναστεύει μειζόνως ἐπὶ τοὺς τῶν Χαναναίων τόπους· κεῖνται γὰρ ἡ Τύ-
ρος καὶ ἡ Σιδών· γυνὴ δέ τις τῶν ἐγχωρίων, θυγατρὸς οὔσης αὐτῇ
χαλεπῶς ὑπὸ δαίμονος ἐνοχλουμένης, προσῆλθεν αὐτῷ τῆς
θυγατρὸς αἰτοῦσα τὴν ἴασιν· ὁ δὲ κ(ύριο)ς τήν τε [illegible] τῆς γυναικὸς
ὡς ἐπειδὴ παρ' ἀλλόφυλος ἦν, ἀπηναίνετο τὸ δοκεῖν τὴν θεραπείαν·
ὁμοῦ μὲν ἰουδαίοις ἐνδεικνύμενος· τὸ μὴ ἐπ' ἴσης αὐτοῖς τε καὶ
τοῖς ἀλλοτρίοις τὴν θεραπείαν χαρίζεσθαι· ὁμοῦ δὲ καὶ τῆς
γυναικὸς ἅπασι καταφανῆ τὴν πίστιν ἐργαζόμενος· ἐπὶ τῷ
μειζόνως φανῆναι τὴν ἀπιστίαν τῶν ἰουδαίων· ὥσπερ γὰρ τῆς
ἀλλοφύλου ἐργασίας [illegible] ὁ καιρός· διὸ [illegible]
τελείως ἐξεργάσασθαι τὴν τοῦ πάθους [illegible]· ἤθελεν οὖν οὐ
[illegible] πρὸς οἰκείους· οἷς καὶ δὴ [illegible] τοὺς πατέρας·
πρὸς οὓς καὶ ἐπαγγελία γεγένηται· αὐτοῖς μὲν οὖν δὲ τὴν [illegible]
ἐπιφανῆ Τυρίοις καὶ Σιδωνίοις ποιεῖται· [illegible] καὶ
λαθεῖν ἐπιχειρεῖ· ἵνα μὴ δόξῃ παρὰ καιρὸν [illegible] τοῖς
ἔθνεσι [illegible] προσκολλᾶσθαι εἰς πίστιν· οὔπω γὰρ καιρὸν εἶ-
χε μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν [illegible]· οὐ μὴν ἠδυνήθη
[illegible] τελείως λαθεῖν· [illegible] τὸ μὴ κλ(ηθῆναι)· ἵνα καὶ γνῶ-
σιν οἱ μαθηταί, ὅτι καὶ τοῖς ἔθνεσι θύραν ἀνοίγει σωτηρίας· [illegible]
λεται δὲ τούτου ἕνεκεν, διοικονομῶν πρὸς τὸ [illegible]
χθέν· ἀγαπᾶται [illegible] τοῦ κ(υρίο)υ [illegible], τοσοῦτον ἀπο-
σχε τοῦ [illegible] ἐπιλαβέσθαι· ἀλλὰ καὶ ἐπεκύρωσεν αὐτῆς τὴν φω-
νήν τε καὶ [illegible] εὐλόγου τὴν ἴασιν [illegible]· [illegible]
σικε· καὶ γὰρ καὶ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει
ἀπὸ τῶν ψιχίων τῶν παιδίων· τὸ μὲν γὰρ [illegible] καὶ ἐν κυσὶ
τάξει καταλογισθῆναι τοῦ κ(υρίο)υ εὐλαβείας ἐστί· τὸ δὲ [illegible]
ὅτι καὶ τὸ [illegible] αὐτοῦ τῆς δυνάμεως· τοῦτο γὰρ ψιχίον ὀ-
νομάζει· ἱκανὸν τῇ θυγατρὶ αὐτῆς παρασχεῖν τὴν ἴασιν, πι-
στῶς ὑπερ[illegible]· τί γάρ φησιν εἰ τὴν χάριν ἔχω καὶ ἐν κυνὸς
τάξει· τέως γὰρ οὐκ ἀλλοτρίας ἀλλὰ τῆς οἰκείας ἀπὸ τῆς
τραπέζης ἀξιοῦσα τῆς δεσπότου [illegible]· εἰ καὶ μὴ τοῦ ἄρτου,

» πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται· καὶ κοινοῖ
» τὸν ἄνθρωπον. Θέα ὅτι τοῦ νόμου σωματικὰς καθαρσίας εἰδότος· καὶ ταύτας ἀπαγορεύοντος, ὁ κ(ύριο)ς δοκεῖ τοὐναντίον εἰσηγεῖσθαι· ὡς οὐδεμιᾶς οὔσης ἀκαθαρσίας ἀπὸ σωματικῶν· τοῦ μὲν γὰρ νόμου πρὸς τὸ ἔξω μᾶλλον ἄνθρωπον ἀφορῶντος· τοῦ δὲ κ(υρίο)υ, πρὸς τὸν ἔνδον· ὡς ἤδη παρόντος τοῦ καιροῦ ἤδη ἐν ᾧ [illegible] ταῖς φύσεσιν τοῖς πνευματικοῖς· ὁ γὰρ [illegible] ἤδη τὸ σῶμα αὐτοῦ ἀθέμιτοι καὶ παράνομοι γενόμενοι, οὕτω δι' αὐτῶν [illegible] τὸν ἄνθρωπον φθείρουσιν. οὐδὲν [illegible] ματικόν· ἀλλ' ὅσα ἐκ καρδίας χωλεύονται, ταῦτα μιαίνει [illegible] φορεῖ δέ, ὁ ἔχων ὦτα ἀκούειν [illegible] σαφῶς εἰρηκότος τὴν [illegible] ἐκπορευομένην· νοήσαντες δὲ οἱ μαθηταί, ὅτι [illegible] ἔμπροσθεν αὐτῶν [illegible] ὁ Πέτρος ὁ θερμότερος καὶ αὐτὸς τοῦ χοροῦ. ἐπειδὴ [illegible] παραβολικῶς· παραβολὴν [illegible] σαφέστερον [illegible]. ὁ δέ φησι πρὸς αὐτούς· οὐδὲν [illegible] εἰσιὸν [illegible] ἀκάθαρτον ποιεῖ· καὶ [illegible] καὶ πάντα τὰ ἐκ στόματος [illegible] τοῦ θεοῦ σοι δῆλον ἐστὶν ἐκ τῆς διδασκαλικῆς φωνῆς, τὸ μιαίνειν καὶ τὸ φύτευσαν ἁμαρτίαν· [illegible] καὶ τὰ [illegible] τῶν ἀνθρώπων γένεσις· καὶ ποιεῖ καρδίας ὡς δηλοῦσι [illegible] σε γὰρ ὁ θ(εὸ)ς τοῦ παντὸς καὶ [illegible]· ἀλλ' ἐπειδὴ [illegible] τὸ εἶναι τὴν [illegible] αὐτῇ φυσικὴν ἔννοιαν· καὶ ταύτην [illegible] καθαρὰν [illegible] πολλοὺς λογισμούς· [illegible] τὸν [illegible] καθαρσίας [illegible] ἄνθρωπον, μόνον ἁμαρτίας τοῦ [illegible] δοκεῖ [illegible] ὁ παῦλος :-

τ̄ε β̄ τ̄ε
εωθ
ιη
ι

Κἀκεῖθεν ἀναστάς, ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος·
» καὶ εἰσελθὼν εἰς οἰκίαν, οὐδένα ἤθελε γνῶναι· καὶ οὐκ ἠδυνή-
» θη λαθεῖν· ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον
» αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς
» τοὺς πόδας αὐτοῦ· ἦν δὲ ἡ γυνὴ ἑλληνίς· συροφοινίκισσα τῷ
» γένει· καὶ ἠρώτα αὐτόν, ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς
» αὐτῆς· ὁ δὲ ἰ(ησοῦ)ς εἶπεν αὐτῇ· ἄφες πρῶτον χορτασθῆναι τὰ τέ-
» κνα· οὐ γάρ ἐστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων· καὶ βαλεῖν
» τοῖς κυναρίοις· ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· ναὶ κ(ύρι)ε· καὶ γὰρ
» τὰ κυνάρια, ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν ψιχ-

γὰρ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν πολλὰ ἡ φύσις τῆς ἀνθρω-
πότητος ὑπέστη σωματικὰ πάθη· καὶ μελῶν ἐνέδοτο πήρωσιν·
δηλοῦσα εἰς ποίαν ἀφροσίαν διὰ τῆς ἁμαρτίας ἡ τοῦ ἀνθρώπου
κατηνέχθη φύσις. εἰσελθὼν ὁ Χριστὸς καὶ τελείαν τὴν ἐνέργειαν
τοῦ ὄντος δεῖξαι· καὶ οἷον ἐξ ἀρχῆς αὐτὸς αὐτὴν κατασκευά-
σας, δι᾽ αὐτῆς τῆς τοῦ στόματος ὁμιλίας αὐτὴν συνεστήσατο ἐθεράπευσε.
διὰ τοῦ δακτύλου μὲν, τὰ ὦτα διήνοιξε· τῷ πτύσματι δὲ αὐτοῦ
ἔδωκε τῇ γλώσσῃ τὸ φθέγγεσθαι· ἀναβλέψας δὲ εἰς τὸν οὐρανὸν ἐ-
στέναξεν· ἅμα μὲν τοῦ περὶ τῶν γινομένων ὑπ᾽ αὐτοῦ τὴν αἰ-
τίαν ἀνατιθείς· καὶ τὴν τοῦ ἀνθρώπου φύσιν ἐλεῶν· ὁρῶν εἰς ποίαν
ταπείνωσιν κατενήνεκται· καὶ λέγει αὐτῷ, ἐφφαθά· τοῦ-
τ᾽ ἔστι διανοίχθητι· καὶ ἅμα τῷ λόγῳ εἰς ἔργον ἐχώρει τὸ θαῦ-
μα· ἤκουσέ τε καὶ ἐλάλει ὀρθῶς: πανταχοῦ δὲ παιδεύων ἡμᾶς
καὶ ταῦθ᾽ αὐτὸ ἀλλότριον, παρακελεύεται τοῖς εὐεργετηθεῖσιν, αὐτο-
ὺς ἐπικρύπτειν τὸ θαῦμα· καὶ ἵνα μὴ παρὰ καιρὸν δόξῃ ὑποκαίειν
καὶ διεγείρειν ὑπὸ φθόνου τοὺς Ἰουδαίους μᾶλλον εἰς φονίαν· εἰ καὶ
τὰ μάλιστα οὐδὲν αὐτοὺς μὴ σιωπήσαντας, ἀλλὰ κηρύξαντας
τὸ παράδοξον:-

και

» Ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος· καὶ μὴ
» ἐχόντων τί φάγωσι, προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ
λέγει αὐτοῖς· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη ἡμέρας
» τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἐὰν ἀ-
» πολύσω αὐτοὺς νήστεις εἰς οἴκους αὐτῶν, ἐκλυθήσονται ἐν τῇ
» ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν ἥκασι· καὶ ἀπεκρίθησαν
» αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν τούτους δυνήσεταί τις
» ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας· καὶ ἐπηρώτα αὐτούς·
» πόσους ἔχετε ἄρτους· οἱ δὲ εἶπον ἑπτά· καὶ παρήγγειλε τῷ
» ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους
» εὐχαριστήσας, ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρα-
» θῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ· καὶ εἶχον ἰχθύδια ὀλίγα·
» καὶ ταῦτα εὐλογήσας, εἶπε παραθεῖναι καὶ αὐτά· καὶ ἔφαγον
» καὶ ἐχορτάσθησαν· καὶ ἦραν περισσεύματα κλασμάτων ἑ-
» πτὰ σπυρίδας· ἦσαν δὲ οἱ φαγόντες ὡσεὶ τετρακισχίλιοι καὶ
» ἀπέλυσεν αὐτούς· καὶ ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν
κβ αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά· καὶ ἐξῆλθον οἱ φαρι-

τῇ γ τῆς ε ἑβδο:

τῇ δ τῆς ς ἑβδ:

Κ περὶ τοῦ κωφοῦ [illegible]ιλάλου:

ἀλλὰ γοῦν τῶν ψιχίων· τέκνα τοίνυν φησὶ τοὺς ἰουδαίους· κυνάρια δὲ τοὺς ἐθνικούς· ἄρτον δὲ· τὰς τῶν θαυμάτων καὶ ἰάσεων λέγει εὐεργεσίας· ψιχία δὲ τὸ βραχύτατον τῆς δυνάμεως αὐτοῦ· διδοὺς οὖν αὐτῇ τὸν λόγον· οὐχ ὡς ἐλλιπῶς ἀπολαβοῦσης πλείονος δυνάμεως ἢ κἀκεῖνοι εὐεργετεῖσθαι· ἀλλ' ὡς διῃρημένων ἑβραίων τε καὶ ἐθνικῶν καὶ κοινωνίαν οὐκ ἐχόντων· ἔθος ἐκ παλαιῶν ἑβραίοις [illegible] παρ' ὅσον ἐκείνων, τῶν τούτων αἱ προσδοχὴν προσδεξαμένων· ὁ μὲν οὖν ματθαῖος· τὸ τῆς πίστεως ἐπεκήρυξεν εἰπών· ὦ γύναι· μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις· ὁ δὲ μάρκος τοῦ λόγου τὴν μαρτυρίαν εἶπεν· διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἀπὸ τῆς θυγατρός σου:—

Κ
σαβ(βάτῳ) ι
κυρ(ιακ)ῇ
ζ

ιθ

Καὶ πάλιν ἐξελθὼν ὁ ἰ(ησοῦ)ς ἐκ τῶν ὁρίων τύρου καὶ σιδῶνος, ἦλθε πρὸς
» τὴν θάλασσαν τῆς γαλιλαίας· ἀνὰ μέσον τῶν ὁρίων δεκαπό-
» λεως· καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον· καὶ παρακαλοῦσιν
» αὐτὸν, ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα· καὶ ἀπολαβόμενος αὐτὸν
» ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ
» ὦτα αὐτοῦ· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ· καὶ ἀνα-
» βλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε καὶ λέγει αὐτῷ ἐφφαθά·
» ὅ ἐστι διανοίχθητι· καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί·
» καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς· καὶ
» διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς
» αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον· καὶ
» ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες· καλῶς πάντα
» πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν· καὶ τοὺς ἀλά-
» λους λαλεῖν:—

Κατ' ἰδίαν λαμβάνει τὸν προσενεχθέντα αὐτῷ κωφὸν μογιλάλον, ὅσον ἀπὸ τοῦ ὄχλου· ἵνα μὴ δόξῃ ἐπιδεικτικῶς ἐπιτελεῖν τὰς θεοσημείας· καὶ παιδεύων ἡμᾶς τὸ ἄτυφον ἐπιτηδεύειν καὶ ἀκενόδοξον· οὐδὲν γὰρ οὕτω ποιεῖ σημεῖα, ὡς ἡ ταπεινοφροσύνη καὶ σημειούμενος· καὶ τὸ [illegible] ἔβαλε δὲ τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· δυνάμενος καὶ λόγῳ ἐπιτελέσαι τὸ θαῦμα, δεικνὺς ὡς πλουτεῖ τὴν τῆς θείας δυνάμεως ἐνέργειαν καὶ τὸ ἔμψυχον αὐτοῦ σῶμα· καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ· ὅπερ καὶ ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ πεποίηκεν· ἐπειδὴ

» αὐτὸν ἀναβλέψαι. καὶ ἀποκατεστάθη καὶ ἐνέβλεψε τη-
» λαυγῶς ἅπαντας. καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ
» λέγων· μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς· μηδὲ εἴπῃς τινὶ ἐν τῇ
» κώμῃ:—

Πτύει καὶ τὰς χεῖρας ἐπιτίθησι τῷ τυφλῷ· δεῖξαι βουλόμενος ὡς λόγος θεῖος καὶ πρᾶξις ἐπιμιχθεῖσα τῷ λόγῳ ἐκτελεῖ τὰ παράδοξα· ἡ γὰρ χεὶρ τῆς πράξεως σύμβολον· τὸ πτύσμα δὲ τοῦ ἐκπορευομένου διὰ στόματος λόγου· ἐπηρώτα δὲ αὐτὸν εἴ τι βλέπει· ἐπὶ τῶν ἄλλων μὴ ποιήσας αὐτό· σημαίνων ὡς ἀτελὴς τῶν προσαγόντων ἡ πίστις. καὶ αὐτοῦ τοῦ πεπηρωμένου τὰς ὄψεις· ἐπεὶ δὲ καὶ τὸ τῆς πίστεως αὐτοῦ διήλεγξεν ἀσθενές, ἀνθρώπους γὰρ ἔφασκε τοὺς ἄλλους ὁρᾶν· πάλιν ἐπιτίθησι τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμούς· ἐκ τῆς πρότερον αὐτῷ γεγενημένης αἰσθήσεως εἰς ἐπίδοσιν πίστεως ἀγαγών· καὶ οὕτως αὐτὸν ἐποίησε τελέως ἀναβλέψαι. ἡ γὰρ προσθήκη τοῦ εἰπεῖν καὶ ἐνέβλεψε τηλαυγῶς, τοῦτο δηλοῖ· μόνον γὰρ τὸ εἰπεῖν ἐποίησεν αὐτὸν ἀναβλέψαι, ἐπήγαγε τὸ εἰρημένον· ἐνέβλεψε δὲ τηλαυγῶς καὶ τοῖς τῆς ψυχῆς ὄμμασι· αἰσθητῶς τε καὶ νοητῶς αὐτὸν ἰάσατο· ἀνέβλεψε δὲ τηλαυγῶς, καὶ τοῖς τῆς διανοίας ὄμμασιν:—

κδ΄
» Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ, εἰς τὰς κώμας Καισαρείας
» τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ, ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ.
» λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι. οἱ δὲ ἀπεκρίθη-
» σαν· Ἰωάννην τὸν βαπτιστήν· καὶ ἄλλοι Ἠλίαν· ἄλλοι δέ, ἕνα
» τῶν προφητῶν. καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δέ, τίνα
» με λέγετε εἶναι. ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ· σὺ εἶ
» ὁ Χριστός. καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ:—

ἀρχ ε
τῇ κς:

Εἰδὼς ἐρωτᾷ· τὴν διὰ τῆς ἐσομένης αὐτῶν ἀποκρίσεως ὠφέλειαν κατασκευάζων· καὶ τῶν μὲν ἄλλων δόξαν βοώντων ὅτι δήποτε περὶ αὐτοῦ, κάλλιον δοξάζειν ποιῶν τοὺς μαθητάς· ὥστε προσηκόντως καλῶς δοξάζειν βεβαιῶν· τοῖς δὲ ἄλλοις, τὴν ἐκ τῆς ἰδίας μαρτυρίας ἐν τῇ θείᾳ πίστιν· τοσοῦτον γὰρ ἐνέμει τὸ κατὰ Χριστὸν παράδοξον· εἰ καὶ πρὸς τὴν πίστιν οὐκ ἔφθανον· ἄνθρωπον μὲν γὰρ [illegible] τὸ νομίζειν διὰ τὸ ὁρώμενον· τὴν δὲ ἐκ νεκρῶν ἀνάστασιν αὐτῷ προστιθέντες, Ἰωάννην καὶ Ἱερεμίαν· ἢ ἕνα τῶν προ

›› σαῖοι· καὶ ἤρξαντο συζητεῖν αὐτῷ· ζητοῦντες ἀπὸ τοῦ οὐρανοῦ
›› σημεῖον ἀπ' αὐτοῦ· πειράζοντες αὐτόν· καὶ ἀναστενάξας
›› τῷ πνεύματι αὐτοῦ λέγει· τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ· ἀμὴν
›› λέγω ὑμῖν εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον· καὶ ἀφεὶς
›› αὐτοὺς ἐμβὰς πάλιν εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν·
›› καὶ ἐπελάθοντο οἱ μαθηταὶ αὐτοῦ λαβεῖν ἄρτους· καὶ εἰ μὴ
τῇ ε τῆς ε ›› ἕνα ἄρτον, οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ· καὶ διεστέλ-
ἑβδο ›› λετο αὐτοῖς λέγων· ὁρᾶτε βλέπετε ἀπὸ τῆς ζύμης τῶν φα-
ι ›› ρισαίων καὶ τῆς ζύμης ἡρώδου· καὶ διελογίζοντο πρὸς ἀλ-
›› λήλους λέγοντες· ὅτι ἄρτους οὐκ ἔχομεν· καὶ γνοὺς ὁ ἰησοῦς λέγει αὐτοῖς· τί
›› διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ὀλιγόπιστοι ὅτι ἄρτους
›› οὐκ ἔχετε· οὔπω νοεῖτε οὐδὲ συνίετε, ἔτι πεπωρωμένην ἔχετε
›› τὴν καρδίαν ὑμῶν, ὀφθαλμοὺς ἔχοντες, οὐ βλέπετε· καὶ ὦτα
›› ἔχοντες οὐκ ἀκούετε· καὶ οὐ μνημονεύετε ὅτε τοὺς πέντε ἄρ-
›› τους ἔκλασα εἰς τοὺς πεντακισχιλίους· πόσους κοφίνους πλή-
›› ρεις κλασμάτων ἤρατε, λέγουσιν αὐτῷ δώδεκα· ὅτε δὲ τοὺς
›› ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώ-
›› ματα κλασμάτων ἤρατε, οἱ δὲ εἶπον· ἑπτά· καὶ λέγει
›› αὐτοῖς· πῶς οὐ συνίετε;:-

Ταῦτά φησι, κατὰ βραχὺ προσεθίζων τοὺς μαθητὰς εἰς σύν-
εσιν καὶ πίστιν· εἰ δὲ ὁ μὲν ματθαῖος λέγει ἀπὸ τῆς ζύμης τῶν
σαδδουκαίων καὶ φαρισαίων· μάρκος δὲ φαρισαίων καὶ
ἡρωδιανῶν· λουκᾶς δὲ φαρισαίων μόνων, οὐδὲ μία ἐστὶν αὐ-
τοῖς διαφορά· οἱ γὰρ τρεῖς, τοὺς προηγουμένους εἶπον φαρι-
σαίους· οἱ δὲ δύο, ἐμνημόνευσαν τοὺς δευτέρους· μὲν εἰπόντων
τὸ μόνον· εἰκὸς γὰρ ἦν τὸν μάρκον· ὡς παραλείψαντος τοῦ
ματθαίου τοὺς ἡρωδιανοὺς εἰς ἀναπλήρωσιν τῆς διηγήσεως,
παραλαβεῖν καὶ τούτους·—

τῇ παρ ›› Καὶ ἔρχεται εἰς βηθσαϊδάν· καὶ φέρουσιν αὐτῷ τυφλόν· καὶ πα-
τῆς ἑβδ ›› ρακαλοῦσιν αὐτόν, ἵνα αὐτοῦ ἅψηται· καὶ ἐπιλαβόμενος τῆς
ι ›› χειρὸς αὐτοῦ τοῦ τυφλοῦ, ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης· ϛ
›› καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἐπηρώ-
›› τα αὐτὸν εἴ τι βλέπει· καὶ ἀναβλέψας, ἔλεγε· βλέπω τοὺς
›› ἀνθρώπους, ὡς δένδρα· ὁρῶ περιπατοῦντας· εἶτα πάλιν ἐπέ-
›› θηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ ἐποίησεν

κϛ

περὶ τοῦ τυφλοῦ::

» ὁ πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ· ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς
» μαθητὰς αὐτοῦ, ἐπετίμησε τῷ πέτρῳ λέγων· ὕπαγε ὀπίσω
» μου σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· καὶ
» προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν
» αὐτοῖς:—

Ματθαῖος, ἤρξατο δεικνύειν φησίν· οὐ γὰρ ἁπλῶς διδάσκει· ἀλλ' οἱονεὶ δείκνυσι λογικὴν δεῖξιν· τοῖς μὲν ὡς ἀρχομένοις χωρητικοῖς δὲ τοῖς γενομένοις τῶν τελείων· δείκνυσι δὲ καὶ τὴν τῶν παραγγελίας. τὸ μηδενὶ λέγειν αὐτοῖς, ὅτι ἰησοῦς χριστός ἐστι· δείκνυται δὲ διὰ τούτων φησί· διὰ τὸ ταῦτα τῆς οἰκονομίας μέλλειν· ἣν δεῖ κηρύττεσθαι τελέως, καὶ μετὰ τοῦτο εἶναι ἰησοῦν χριστὸν ἐσταυρωμένον τῶν τοῦτο μαρτυρεῖν δυναμένων:—

» Καὶ προσλαβόμενος αὐτὸν ὁ πέτρος: Πάλιν ὁ πέτρος προσθερμὸς ὤν. μόνος τολμᾷ περὶ τούτου διαλεχθῆναι· παραλαμβάνει γάρ φησιν. ἤρξατο ἐπιτιμᾶν αὐτῷ, καὶ λέγειν ὡς ὁ ματθαῖος φησίν· ἵλεώς σοι κύριε· οὐ μὴ ἔσται σοι τοῦτο· τί ποτε δὲ τοῦτό ἐστιν, ὅτι ὁ ἀποκαλύψεως τυχὼν καὶ μακαρισθείς, οὕτω ταχέως διέπεσε καὶ ἐσφάλη· καὶ φασὶν οὐδὲν θαυμαστὸν τὸν ἀποκάλυψιν δεξάμενον ἐν τούτοις ἀποκάλυψιν τοῦ πάθους, περὶ τούτου σφαλῆναι ἢ ἀγνοεῖν· ὅτι μὲν γὰρ ὁ χριστός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ἔμαθεν· ὅτι ποτε δέ ἐστι τὸ μυστήριον τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, οὐδέπω δῆλον αὐτῷ γέγονε· αὐτὸς μέντοι δεικνὺς ὅτι πολὺ τοσοῦτον ἀπέχει τοῦ ὀκνεῖν ἐλθεῖν ἐπὶ τὸ πάθος, ὥσπερ καὶ ἐπετίμησε καὶ σατανᾶν αὐτὸν ἐκάλεσε τὸν κωλῦσαι πειρώμενον· καὶ οὐκέτι πάντως ὁ σατανᾶς ἐφθέγξατο διὰ σοῦ· τάχα δὲ διὰ μὲν τὴν πρόθεσιν αὐτοῦ, τὸ ὕπαγε ὀπίσω μου εἴρηται· διὰ δὲ τὴν ἀντικειμένην γνώμην, τὸ σατανᾶ· ὅ ἐστι μὲν ἀντικείμενε· ἐπιθυμία γὰρ ἦν τοῦ ἀντικειμένου, τὸ μὴ παθεῖν τὸν χριστόν· διὰ τοῦτο μετὰ τοσαύτης σφοδρότητος αὐτῷ ἐπετίμησε· καὶ τῷ μὲν σατανᾷ πειράζοντι τὸν ἰησοῦν, οὐκ εἴρηται ὕπαγε ὀπίσω μου σατανᾶ· ἀλλ' ὕπαγε σατανᾶ· τῷ δὲ πέτρῳ πλανωμένῳ, καὶ διὰ τοῦτο οὐδὲν ὄντι ὄπισθεν τοῦ ἰησοῦ, λέγεται ὕπαγε ὀπίσω μου σατανᾶ· τουτέστιν ἀκολούθει μοι· καὶ ἐπὶ τοῦ πάθους μου κοινωνίαν μου ἔχεσθαι καὶ ἀνθίστασο· σὺ

φησὶ τῶν μεγίστων· οὐκ εὐθέως δὲ τὴν αὐτῶν γνώμην κἂν ἠρώτησεν·
ἀλλὰ τὴν τῶν πολλῶν· ἵνα εἰπόντες τὴν ἐκείνων· εἶτα
ἐρωτηθέντες· ὑμεῖς δὲ τίνα με λέγετε, ἀπὸ τοῦ τρόπου τῆς
ἐρωτήσεως, εἰς μείζονα ἔννοιαν ἀναχθῶσι· διὰ δὴ τοῦτο, οὐ
δὲ ἐν ἀρχῇ τοῦ κηρύγματος. αὐτῶν πυνθάνεται· ἀλλ᾿ ὅτε καὶ
πολλὰ ἐποίησε· καὶ περὶ πολλῶν αὐτοῖς διελέχθη καὶ ὑψηλὰ
καὶ τῆς αὐτοῦ θεότητος· δεικνὺς δὲ ὡς σφόδρα βούλεται τὴν
οἰκονομίαν ὁμολογεῖσθαι, φησὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. εἶτ᾿ ἐπει
δὴ εἶπον τὴν παρὰ τῶν πολλῶν δόξαν, τότε ἐπή
γαγεν· ὑμεῖς δὲ τίνα με λέγετε. μονονουχὶ ἐκκαλούμενος αὐ
τοὺς διὰ τῆς δευτέρας ἐρωτήσεως, εἰς τὸ μεῖζόν τι φαντασθῆ
ναι περὶ αὐτοῦ· καὶ μὴ συνεμπεσεῖν τοῖς πολλοῖς. τί οὖν ὁ κορυ
φαῖος τῶν μαθητῶν, τὸ στόμα τῶν ἀποστόλων· πάντων ἐρω
τηθέντων, αὐτὸς ἀποκρίνεται καί φησι· σὺ εἶ ὁ χριστός. τὴν γὰρ ἀ
κριβεστέραν περὶ τούτου δίκασιν, παρὰ χαρίσματος παραδόμενος
εὐαγγελιστὴς τῶν μαθητῶν εἶπόν τι· αὐτὸς δὲ ὡς ἐπίσταται καὶ τὸ ἀ
κριβὲς παρῆκε τῆς ἱστορίας· ἵνα καὶ δόξῃ σαφέστερον τὸ ἐπ᾿ αὐτοῦ
χαρίσασθαι διδασκάλῳ. ἐπετίμησε δὲ αὐτοῖς φησὶν, ἵνα μηδενὶ
λέγωσιν· ὡς ὁ Ματθαῖος φησὶ διεστείλατο· ἐβούλετο γὰρ ἔτι
συσκιάζεσθαι τὴν περὶ αὐτοῦ δόξαν· ἕως τῶν σκανδαλι
ζόντων ἐκποδὼν γενομένων· τοῦ τε σταυροῦ καὶ τοῦ πάθους, καθα
ρὰν ἐμφυτευθῆναι τῇ διανοίᾳ αὐτῶν τὴν πίστιν· τάχα δὲ καὶ
δι᾿ ἄλλο ἐπετίμησε τοῖς μαθηταῖς, ἵνα τότε μηδενὶ εἴπω
σιν ὅτι αὐτός ἐστιν ὁ χριστός· παρέκειτο γὰρ αὐτῷ τελειῶσαι τὴν
οἰκονομίαν πρὸς τῇ ἀναλήψει, εἶτα ποτέ· παρασπεῖραι
φιλεσάντες πάντα τὰ ἔθνη· καὶ οὕτως ἐπικρατεῖν αὐ
τόν. εἰ δὲ καὶ ἐν τοῖς ἀμφοτέροις τούτοις τὸ ὡς δοκῶ αἰτεῖ
οἷς παραγγεῖλαι· ἀλλ᾿ ἐπιτιμᾷ· καὶ τὸ πάθος ὅμως ὁμολο
γήσει ἐν ἑαυτῷ καὶ παιδεύσεις· λέγομεν ὅτι μηκέτι τότε οὐδέπω
τὸ ἴσως ἐφημέριζε, τῷ χριστῷ· καὶ οὐδέπω ὁ σταυρὸς ὁ ὅσιος τὸ πέπ
ρωμα ἀποκαλύψαι, ὅτι χριστὸς ἦν ὁ υἱὸς τοῦ θεοῦ ζῶντος:—

» Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ
» παθεῖν· καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν ἀρχιερέων καὶ γραμμα
» τέων. καὶ ἀποκτανθῆναι· καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι·
» Καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλαβόμενος αὐτὸν

αὐτοῦ· ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀφ᾽ ὧν [illegible] παρελθεῖν τοῦ Χριστοῦ ἡ σάρξ πάρει· [illegible] κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου· κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος· τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· καθηλωμένος ἐπὶ τοῦ ξύλου τῆς ζωῆς, λέγων ὡς ὁ Παῦλος· Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός· καὶ ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ· δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται· κἀγὼ τῷ κόσμῳ· διὸ πολλῶν μὲν δέον οὐσῶν εἰς μαρτύριον, μόνου τε ῥοῦ [illegible]:—

Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν:—

Ὃ λέγει τοιοῦτόν ἐστιν· οὐχ ὡς ἀφειδῶν ὑμῶν· ἀλλ᾽ ὡς σφόδρα φειδόμενος ὑμῶν ἐπιτάττω ταῦτα· καὶ γὰρ ὁ φειδόμενος τοῦ ἑαυτοῦ υἱοῦ, ἀπόλλυσιν αὐτόν· ὁ δὲ μὴ φειδόμενος σώζει· δεῖ τοίνυν πρὸς τὸν διηνεκῆ θάνατον ἡμᾶς παρατετάχθαι· εἰ γὰρ καὶ ἐπὶ τῶν μαχῶν τῶν αἰσθητῶν πολεμίων ὁ παρατεταγμένος εἰς σφαγήν, οὗτος τῶν ἄλλων ἐστὶ κρείττων· καίτοι μετὰ θάνατον οὐκ ἰσχύοντος αὐτὸν ἀναστῆσαί τινος· πολλῷ μᾶλλον ἐπὶ τῶν τοιούτων πολέμων· ὅτε καὶ ἀναστάσεως ἐλπὶς τοσαύτη· ὁ τοίνυν παραβαλλόμενος εἰς θάνατον τὴν ἑαυτοῦ ψυχήν, εὑρήσει αὐτήν:—

Ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν:—

Εἶτ᾽ ἐπειδὴ εἶπεν, ὁ θέλων σῶσαι ἀπολέσει αὐτήν· ἵνα μή τις ἴσην νομίσῃ εἶναι τὴν ἀπώλειαν ταύτην κἀκείνην· καὶ τὴν σωτηρίαν· ἀλλ᾽ ἵνα μάθῃ ὅσον τὸ μέσον ταύτης κἀκείνης, ἐξ αὐτοῦ κατασκευάζων:—

Τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ· ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ:—

Ὁρᾷς πῶς ἡ παρὰ τὸ δέον αὐτοῦ σωτηρία, τοσαύτης ἀπωλείας χείρων· καὶ ἀνίατος· οὐκ ἔχει μηδὲ εἶναι λοιπὸν τὸν διορθούμενον αὐτήν· μὴ γάρ μοι φῇς τοῦτο λέγε, ὅτι τὴν ψυχὴν αὐτοῦ τις ἔσωσεν ὁ φυγὼν τοὺς τοιούτους κινδύνους· εἰ γὰρ μετὰ τῆς ψυχῆς καὶ τὴν οἰκουμένην ἅπασαν κερδήσει τις, τί τὸ πλέον αὐτῷ, ἐκείνης ἀπολλυμένης· οὐ γὰρ ἑτέραν ἔχει ψυχὴν ἀντὶ ψυχῆς δοῦναι· χρήματα μὲν γὰρ καὶ οἰκίαν, δύναταί τις ἀνταλλάξασθαι ἕτερα ἀντ᾽ ἐκείνων δοῦναι· ψυχὴν δὲ ἀπολέσας, ἑτέραν ἀντ᾽ ἐκείνης αὐτὸς δοῦναι οὐ δύναται· ἀλλ᾽ ὥστε ἀμφιβόλου τῆς λέξεως· ἢ γὰρ

μὲν γὰρ νομίζεις ὅτι ἀνάξιόν μου ἐστὶ τὸ παθεῖν· ἐγὼ δέ σοι λέ-
γω, ὅτι μᾶλλον τὸ μὴ παθεῖν· τοῦ δὲ προφήτου λέγοντος εἰ-
ρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον κυ· καὶ οὐκ ἔστιν αὐτοῖς
σκάνδαλον, ὁ κς φησὶ σκάνδαλον εἶ ἐμοῦ· ἀντὶ δ' ἐκτὸς ὢν
τοῦ σκανδαλίζεσθαι· ὑπὸ δὲ παλαιὸν λέγω· πῶς σκανδα-
λίζεται καὶ οὐκ ἐσταυροῦμαι:-

κυ γ τ
νηστ:

›› Εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν· καὶ
›› ἀράτω τὸν σταυρὸν αὐτοῦ· καὶ ἀκολουθείτω μοι:

Σὺ φησὶν ἐπιτιμᾷς μου βουλομένῳ παθεῖν· ἐγὼ δέ σοι λέγω· ὅτι οὐ
μόνον αὐτὸ τὸ ἐμὲ κωλύειν· καὶ τῷ ἐμῷ πάθει δυσχεραίνειν ἐστὶ
βλαβερὸν καὶ ὀλέθριον, ἀλλ' ὅτι οὐδὲ σὺ σωθῆναι δυνήσῃ ἂν μὴ καὶ
αὐτὸς ἀποθάνῃς· διὰ τοῦτο οὐκέτι ἐφ' ἑαυτοῦ προάγει τὸν λόγον·
ἀλλὰ καὶ ἐπεκτείνων· τοιοῦτον γάρ φησι τοῦ πράγματος τού-
του τὸ κέρδος· ὅτι καὶ ἐφ' ὑμῶν τὸ μὴ ἀποθανεῖν δεινόν· τὸ
δὲ ἀποθανεῖν ἀγαθόν· οὐκ εἶπε δὲ καὶ μὴ βούλησθε, δεῖ τοῦ-
το παθεῖν ὑμᾶς· ἀλλ' εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν· ἐπεὶ δὲ
βία κωλύει· οὐκ ἔστι κοινὸν καὶ ἐπαχθῆ ἵνα ἀναγκάσῃ· ὁ μὴ δὲ
μὴ βουλόμενος ἀποτρέπει· ὁ δὲ ἀφεὶς κύριον τὸν ἀκροατὴν
εἶναι μᾶλλον ἐφέλκεται· ἀρνεῖται δὲ ἑαυτόν τις, ὅταν τοῦ ἰδίου
σώματος ἀφειδῇ· ἵν' ἂν μαστίζωσι καὶ ὅτι δῶ ποιῶσι, μὴ φεί-
σηται· τοῦτο γάρ ἐστι φείσασθαι· ἐπεὶ καὶ οἱ πατέρες τὸ τρεφόμε-
νον, ὅταν διδασκάλοις παραδόντες τὰ παιδία, κελεύουσι μὴ
φείδεσθαι· οὕτω καὶ ὁ χς οὐκ εἶπε μὴ φείσασθε αὐτοῦ·
ἀλλ' ἐπιτεταμένως ἀπαρνησάσθω ἑαυτόν· τοῦτ' ἔστι μηδὲν
κοινὸν ἐχέτω πρὸς ἑαυτόν· ἀλλ' ἐκδιδότω τοῖς κινδύνοις·
καὶ ὡς ἑτέρου ταῦτα πάσχοντος, οὕτω διακείσθω· τὸ δὲ ἀρά-
τω τὸν σταυρὸν αὐτοῦ, πολλὴν ἐμφαίνει τὴν ὑπερβολήν· καὶ γὰρ
πλέον τοῦτο ἐκείνου ἐστίν· ἀπαρνεῖσθαι γὰρ μέχρι τοσούτου δεῖ,
μέχρι θανάτου· καὶ θανάτου ἐπονειδίστου· καὶ ὅτι οὐχ ἅπαξ
δὲ δεῖ· ἀλλὰ καὶ διηνεκῶς τοιοῦτο δεῖ ποιεῖν. ἔπειτα
γε καὶ ἀκολουθείτω μοι· ἐπειδὴ ἔστι καὶ πάσχοντα μὴ ἀκολουθεῖν· ὅ-
ταν μὴ δι' αὐτόν τις πάθῃ· ἵνα γὰρ μὴ νομίσῃς ὅτι ἀρκεῖ τὸ μὴ κιν-
δύνων κ' φόνοις, προστίθησι καὶ τὴν ὑπόθεσιν· ἵν' ὅταν ταῦτα ποι-
ῇς, αὐτῷ ἀκολουθῇς· λαβὼν τοίνυν τὸν σταυρὸν αὐτοῦ ἀκολουθεῖ χῷ·
ὁ κατὰ τὴν μίμησιν αὐτοῦ, καὶ συμμορφιζόμενος τῷ θανάτῳ

πίστιν· ἀλλὰ καὶ τὴν διὰ τοῦ στόματος ὁμολογίαν ἀπαιτεῖ· εἰς παρρησίαν πάντας ἀλείφων καὶ πλείονα ἀγάπην καὶ διάθεσιν· διὸ καὶ πρὸς πάντας διαλέγεται· γενναίους παρασκευάζων· ὁ δὲ τοῦτο μαθὼν, οὐ μόνον διδάξει μετὰ παρρησίας, ἀλλὰ καὶ πείσεται μετὰ προθυμίας· ἂν δέοι χάριν τῆς ὁμολογίας· μοιχαλὶς δὲ λέγεται, ἡ τὸν θ(εὸ)ν τὸν ἀληθινὸν καταλιποῦσα ψυχή· καὶ μὴ τῇ αὐτοῦ διδασκαλίᾳ κατακολουθοῦσα· ἀλλ' ἑτέροις ἑαυτὴν ὑποστρώσασα καὶ ἀσεβείας δόγματα δεξαμένη· δῆλον δὲ, ὅτι καὶ ἁμαρτωλός· ὁ ἑαυτὸν τῶν ποιούντων τὴν ἐναντίαν ἀρνούμενος δεσποτείαν· ἀκούει ἐν τῇ δευτέρᾳ καὶ φοβερᾷ παρουσίᾳ, οὐκ οἶδα ὑμᾶς:–

» Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν· ὅτι εἰσί τινες τῶν ὧδε
» ἑστηκότων· οἵτινες οὐ μὴ γεύσονται θανάτου ἕως ἂν ἴδω-
» σι τὴν βασιλείαν τοῦ θ(εο)ῦ ἐληλυθυῖαν ἐν δυνάμει·–

Ἐπειδὴ πολλὰ περὶ κινδύνων διελέχθη· καὶ τοῦ θανάτου καὶ τοῦ πάθους αὐτοῦ. καὶ τὰ αὐστηρὰ ἐπέταξεν ἐκεῖνα· καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσί· τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι καὶ προσδοκίᾳ· βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι· καὶ δεῖξαι τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη μεθ' ἧς μέλλει παραγίνεσθαι· ὡς ἐχώρουν αὐτοὺς μαθεῖν· καὶ κατὰ τὸν παρόντα βίον δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην· ἵνα μήτε ἐπὶ τῷ οἰκείῳ θανάτῳ, μήτε ἐπὶ τῷ τοῦ δεσπότου
» λοιπὸν ἀλγῶσι· φησὶ δέ· ἀμὴν ἀμὴν λέγω ὑμῖν· εἰσί τινες
» τῶν ὧδε ἑστηκότων· οἵτινες οὐ μὴ γεύσονται θανάτου· ἕως
» ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θ(εο)ῦ ἐληλυθυῖαν ἐν δυνάμει:–

Καὶ ταῦτα μὲν ἀπλούστερον ἁρμόζεται ἐπὶ τὴν μετὰ ἓξ ἡμέρας ἄνοδον τῶν τριῶν μαθητῶν εἰς τὸ ὄρος σὺν τῷ Ἰ(ησο)ῦ καὶ τὴν θέαν ἰδόντες τὸν μεταμορφωθέντα Ἰ(ησοῦ)ν· καὶ ὡς δορυφόρους Μωσέα καὶ Ἠλίαν. εἶδον Χ(ριστὸ)ν ἐν βασιλείᾳ καὶ δόξῃ· ἀναγωγικώτερον δέ. ἑστήκασι παρὰ τῷ λόγῳ οἱ ἐρηρεισμένοι τὰς ψυχὰς βάσεις· ὡς Μωσῆς ἀκούων παρὰ θ(εο)ῦ· σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ· καὶ οἱ λέγοντες ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱ(ερουσα)λήμ· καὶ ἐπεὶ ἐστὶν αὐτῶν διαφορά, οἱ μὲν ἐλλείποντες τοῦ ἀμφοῖν ἑστῶσι δικαιώματος λόγου ἅπτονται τοῦ ἀξιώματος· ὡς τὴν ἐπὶ πᾶσι λόγοις ἀναλαμβάνοντες ἀρχήν· λύοντες τὰς τῶν ὁ μὲν φιλόζωος, αὐτὸ τοῦτο ἀπόλλυσι τὴν ψυχήν· ἐκτὸς ποιεῖ μακαριότητος· ὁ δὲ καταφρονῶν αὐτῆς διὰ τὸν [illegible] λόγον ἕως θανάτου, σώζει αὐτήν· ἢ ὁ μὲν ἀρνήσας τὴν ἀληθῆ σωτηρίαν τοῦ κόσμου, ἀπολέσει αὐτήν· ἄρα οὖν εἰ καὶ κατὰ ταύτην ἐκδοχὴν ἀκολουθεῖ τῷ εἴ τις θέλει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἐκεῖνος σώσει αὐτήν· καὶ ἑαυτὴν μὲν οὖν τῷ αὐτοκινήτῳ ἀπολέσασα ἡ ψυχὴ παραδοθεῖσα ταῖς ἁμαρτίαις· τότε αὖ τὸ πάλιν εὑρίσκει αὐτὴν ὑπὸ τοῦ λόγου ὑπομνηθεῖσα ζητήσασα· πάλιν δὲ οὐχ ἐν ἐκείνῳ τοῦ πονηροῦ ἀλλ' ἐν ἐκείνῳ τοῦ λόγου· καταργοῦσα αὐτὴν καὶ ἀφανίζουσα τὴν ἐν ἀπωλείᾳ κινήσασαν· καὶ οὐκ ἐῶσα [illegible]. ἀπολέσασα ἑαυτὴν ἀκταίαν ἀπώλειαν· εὑρίσκει αὐτὴν ἐν αὐτῷ, ὅτε λέγει· ζῶ δὲ, οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός· τὸ μὲν οὖν εὑρὼν [illegible] ἀνάξεις ἐστὶ τὴν ἐν τῇ εἰς τὸν λόγον εἰσαγωγῇ, συναίσθησιν· τὸ δὲ εὑρήσει, ἐστὶ τὴν τελειότητα· τὰ δὲ μεταξὺ τό, ἀπολέσει καὶ τὸ ἀπολέσας, ἐστὶ τὰ μεταξὺ εἰσαγωγῆς καὶ τελειότητος· ἀκολουθότερον δέ ἐστι μαρτύριον προτέθεικεν ὁ λόγος· τὸ μὲν πρῶτον ἀμφότερον ἐστὶ τοῖς ἀρχομένοις· εὑρίσκοντας μὲν τὴν ψυχήν, ὡς πρὸς τὸ παρόν· ἀπολλύοντας δὲ ὡς πρὸς τὸ μέλλον· τὸ δὲ ἑξῆς, ἐστὶ τοῖς ἀπολλύουσι μὲν, τὸ νῦν ζῆν· τῷ μέχρις αἵματος ἀντικαθίστασθαι πρὸς τὴν ἁμαρτίαν· εὑρίσκουσι δὲ ἐν τῷ μέλλοντι αἰῶνι· ἔνθα ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ, ἐν τῷ θεῷ· κερδαίνει δὲ κόσμον ὃς ζημιοῦται ψυχήν· ᾧ ὁ κόσμος οὐ σταυροῦται· εἰ δὲ μηδὲν ὠφελεῖ τὸν ὃ κόσμον κερδήσας καὶ ψυχὴν ζημιωθείς, ἡ κυρίως ὠφέλεια ἐν ψυχῇ μόνῃ κατέχομεν ἢ τὴν κατ' ἀρετήν· κόσμος δὲ νῦν ὁ πᾶς· οὐ γὰρ κερδαίνει τις ὅλον καὶ τὰ ἐν αὐτῷ ἄστρα· τὸ δὲ ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ· ἤτοι ἀπορητικῶς ἢ ἀποφαντικῶς λέγει· ἄνθρωπος μὲν οὖν, τί δώσει· ὁ δὲ θεὸς τῆς ἡμῶν σωτηρίας ἕνεκεν, ἔδωκεν ἀντάλλαγμα τὸ τίμιον αἷμα Χριστοῦ:–

» Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύ-
» τῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυν-
» θήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν
» ἀγγέλων τῶν ἁγίων. Οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν

πίστιν· ἀλλὰ καὶ τὴν διὰ τοῦ στόματος ὁμολογίαν ἀπαιτεῖ· εἰς
παρρησίαν πάντας ἀλείφων καὶ πλείονα αὐτοῖς κατὰ διά-
θεσιν· διὸ καὶ πρὸς πάντας διαλέγεται· γενναίους παρα-
σκευάζων· ὁ δὲ τοῦτο μαθών, οὐ μόνον δικάζει μετὰ παρρη-
σίας, ἀλλὰ καὶ πείσεται μετὰ προθυμίας· ἂν ἐπαισχυνθῇ τῇ
ὁμολογίᾳ· μοιχαλὶς δὲ λέγεται, ἡ τὸν θ(εὸ)ν τὸν ἀληθινὸν κατα-
λιποῦσα ψυχή· καὶ μὴ τῇ αὐτοῦ διδασκαλίᾳ κατακολου-
θοῦσα· ἀλλ' ἑτέροις ἑαυτὴν ὑποστρώσασα· καὶ ἀσεβείας σπέρ-
ματα δεχομένη· δῆλον δὲ, ὅτι καὶ ἁμαρτωλός· ὁ οὖν ἐμὲ τὸν
ποιοῦντα τὴν ἐμὴν ἀρνούμενος δεσποτείαν· ἀκούει ἐν τῇ δευ-
τέρᾳ καὶ φοβερᾷ παρουσίᾳ, οὐκ οἶδα ὑμᾶς:–

» Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν· ὅτι εἰσί τινες τῶν ὧδε
» ἑστηκότων· οἵτινες οὐ μὴ γεύσονται θανάτου ἕως ἂν ἴδω-
» σι τὴν βασιλείαν τοῦ θ(εο)ῦ ἐληλυθυῖαν ἐν δυνάμει:–

Ἐπειδὴ πολλὰ περὶ κινδύνων διελέχθη· καὶ τοῦ θανάτου
καὶ τοῦ πάθους αὐτοῦ· καὶ τὰ αὐστηρὰ ἐπέταξεν ἐκεῖνα·
ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ· καὶ ἐν χερσί· τὰ δὲ ἀγαθὰ
ἐν ἐλπίσι καὶ προσδοκίαις· βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν
πληροφορῆσαι· καὶ δεῖξαι τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη μεθ' ἧς
μέλλει παραγίνεσθαι· ὡς ἐγχωροῦν ἦν αὐτοὺς μαθεῖν· καὶ κατὰ
τὸν παρόντα βίον δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην·
ἵνα μήτε ἐπὶ τῷ οἰκείῳ θανάτῳ, μήτε ἐπὶ τῷ τοῦ δεσπότου
» λοιπὸν ἀλγῶσι· φησὶ δέ· ἀμὴν ἀμὴν λέγω ὑμῖν· εἰσί τινες
» τῶν ὧδε ἑστηκότων. οἵτινες οὐ μὴ γεύσονται θανάτου· ἕως
» ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θ(εο)ῦ ἐληλυθυῖαν ἐν δυνάμει:–

Καὶ ταῦτα μὲν ἁπλούστερον ἀναφέρεται ἐπὶ τὴν μετὰ ἓξ ἡμέρας
ἄνοδον τῶν τριῶν μαθητῶν εἰς τὸ ὄρος σὺν τῷ ἰ(ησο)ῦ κατ' ἰδίαν· ἰ-
δόντες γὰρ μεταμορφωθέντα τὸν ἰ(ησο)ῦν· καὶ δορυφοροῦντας μω-
σέα καὶ ἠλίαν, εἶδον χ(ριστο)ῦ ἐν βασιλείᾳ καὶ δόξῃ· ἀμφοτερικῶς αὐ-
τὰ δέ. ἑστήκασι παρὰ τῷ λόγῳ οἱ ἐρηρεισμένοι τὰς τῆς ψυχῆς
βάσεις· ὡς μωσῆς ἀκούων παρὰ θ(εο)ῦ· σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐ-
μοῦ· καὶ οἱ λέγοντες· ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐ-
λαῖς σου ἰ(ερουσα)λήμ· καὶ ἐπεὶ ἐστὶν αὐτῶν διαφορά, οἱ μὲν ἀπλῶς ἐξ αὐ-
τοῦ ναοῦ ἐπὶ δικαιοσύνης λόγου ἅπτονται τῷ ἀξιώματι· ὡς τὴν
ἐπὶ πᾶσι λόγοις ἀναλαμβάνοντες ἀρχήν· λύοντες τὰς τῶν

ὁ μὲν φιλόζωος, αὐτὸ τοῦτο ἀπόλλυσι τὴν ψυχήν· ἐκτὸς ποιῶν
μακαριότητος· ὁ δὲ καταφρονῶν αὐτῆς διὰ τὸν καταπείσαντα
λόγον ὡς θαυμαστοὺς σώζει αὐτήν. ὁ μὲν μονήσας τὴν ἀληθῆ
σωτηρίαν τοῦ κόσμου, ἀπολέσει αὐτήν· ἄρα οὖν εἰ καὶ κατὰ
τιμὴν ἐκδοχὴν ἀκολουθεῖ τὸ εἴ τις θέλει τὴν ψυχὴν αὐτοῦ σῶ-
σαι, ἐκεῖνος σώσει αὐτήν· καὶ ἑαυτὴν κερδήσων τοῦ αὐτοῦ λημ-
που ἀπολέσασα ἡ ψυχή· παραδοθεῖσα ταῖς ἁμαρτίαις· τὸ αὐ-
τὸ πάλιν εὑρίσκει αὐτὴν ὑπὸ τοῦ λόγου ὑπομνησθεῖσα ζη-
τῆσαι· πάλιν δὲ οὐχ ἐν ἐκείνῃ τοῦ πονηροῦ ἀλλ᾽ ἐν ἐκείνῃ τοῦ
λόγου· καταργοῦσα αὐτὴν καὶ ἀφανίζουσα τὴν ἐν ἀπωλείᾳ
κειμένην· καὶ οὐκ ἔτι οὖσα ὅπερ ἦν. ἀπολέσασα ἑαυτὴν ἀ-
κταίαν ἀπώλειαν· εὑρίσκει αὐτὴν ἐν αὐτῷ, ὅτε λέγει· ζῶ δὲ
οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός· τὸ μὲν σῶσαι εὑρεῖν ὡς πιθανός
φησιν, ἀναύξεις ἐστὶ τὴν ἐν τῇ εἰς τὸν λόγον εἰσαγωγῇ, συναίσθη-
σιν· τὸ δὲ εὑρήσει, ἐστὶ τὴν τελειότητα· τὸ δὲ μαθητεύειν,
ἀπολέσει καὶ τὸ ἀπολέσαι, ἐστὶ τὸ μαθητευθῆναι εἰσαγωγῆς καὶ
τελειότητος· ἀμφοτέρων δὲ ἐστὶ μαρτύριον προλέγεται ὁ
λόγος· τὸ μὲν περιποιήσασθαι ἀμφοτέρων ἐστὶ τοῖς ἁρμοζομένοις· εὑ-
ρίσκομεν τὰς μὲν τὴν ψυχήν, ὡς πρὸς τὸ παρόν· ἀπολλύντας
δὲ ὡς πρὸς τὸ μέλλον· τὸ δὲ ἑξῆς, ἐστὶ τοὺς ἀπολλύντας μὲν
τὸ μὲν ζῆν· τοὺς μαχαιρωθέντας ἀμυνομένους καθίστασθαι πρὸς τὴν
ἁμαρτίαν· εὑρίσκοντας δὲ ἐν τῷ μέλλοντι αἰῶνι. ἔνθα ἡ ζωὴ
ἡ μὲν κεκρυμμένη σὺν τῷ Χριστῷ, ἐν τῷ θεῷ· κερδαίνει δὲ κόσμον ὡς
ζημιοῦται ψυχήν. ὁ κόσμος οὐ σταυροῦται· εἰ δὲ ἐπὶ δὲ μὴ ὠφελεῖ
τὸν κόσμον κερδήσας καὶ ψυχὴν ζημιωθείς, ἡ κυρίως ὠ-
φέλεια ἐν ψυχῇ κειμένη, κἂν μὴ ἐπὶ καιρὸν παρ᾽ ἑαυτήν. κόσμος δὲ μὲν
οὐ παντός· οὐ γὰρ κερδαίνει τὸ ὅλον καὶ τὰ ἐν αὐτῷ ἀγαθά· τὸ
δὲ ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ. ἤτοι ἀπορη-
τικῶς ἢ ἀποφαντικῶς λέγει. ἄνθρωπος μὲν οὖν, τί δώσει· ὁ δὲ θεὸς ὁ
κηδόμενος σωτηρίας ἐν ἐκείνῳ, ἔδωκεν ἀντάλλαγμα τὸ τίμιον αἷμα
Χριστοῦ :—

›› Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύ-
›› τῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυν-
›› θήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν
›› ἀγγέλων τῶν ἁγίων. Οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν

προλέγει δὲ, ἵνα εὐμαθέστεροι περὶ τὴν θεωρίαν γένωνται ἀφ' ὧν
προεῖπε· καὶ σφοδροτέρας ὄντες τῷ πόθῳ καὶ καθαρωτέρᾳ τῇ διανοίᾳ τῆς ἐπι-
θυμίας ἐμπλησθέντες· οὕτω μὴ φοβούμενοι [illegible] μόνον παραγένωνται·
ἐν μνήμῃ μᾶλλον οὖσι καὶ [illegible], τὴν ἑαυτοῦ δόξαν ἐπιδεῖξαι· ἐπειδὴ δὲ
καὶ τὸ τοῦ ὄρους ὕψος οἰκεῖον ἔχει τι πρὸς τὸ τῆς δόξης ὕψος, συμ-
παραλαμβάνει μόνους ὁμοῦ εἰς ὄρος αὐτοὺς ἀνήγαγεν ὑψηλόν· τὸ δὲ
κατ' ἰδίαν φησί· τὸ μυστικὸν τοῦ πράγματος ἐπισημαινόμενος·
καὶ ὡς οὐκ ἦν [illegible] δημοσιεύειν αὐτὸ ὁ Κ(ύριο)ς· ἡ δὲ λεγομένη μεταμόρ-
φωσις, κατὰ τὴν ἔκλαμψιν ἦν· καὶ [illegible] ὅτε ἔλαμψε τὸ πρόσωπον
αὐτοῦ ὡς ὁ ἥλιος· καὶ ὁ ἱματισμὸς ἐγένετο λευκός· [illegible]
ὡς ὅλου καὶ [illegible] φησιν· ὁ δὲ Ματθαῖος, λευκὰ τὰ ἱμάτια γενόμενα
λέγει ὡς τὸ φῶς· οὐδὲ γὰρ τοῦ χαρακτῆρος [illegible] πρὸς
δοκητέον [illegible]· οὔτε αὐτοῦ τοῦ σώματος, οὔτε τῶν ἱματίων
αὐτοῦ· ἀλλὰ φωτὸς τοῦ πρὸς θήκην περιλάμποντος:–

Καὶ ὤφθησαν αὐτοῖς Ἠλίας σὺν Μωσεῖ· καὶ ἦσαν συλλαλοῦντες τῷ
Ἰησοῦ· καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· ῥαββί, καλόν ἐστιν ἡ-
μᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς· σοὶ μίαν· καὶ
Μωσεῖ μίαν· καὶ Ἠλίᾳ μίαν· οὐ γὰρ ᾔδει τί λαλήσει· ἦσαν γὰρ
ἔκφοβοι· καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς· καὶ ἦλθε
φωνὴ ἐκ τῆς νεφέλης· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ
ἀκούετε· καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον·
ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν· καταβαινόντων δὲ αὐτῶν
ἀπὸ τοῦ ὄρους· διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ
εἶδον· εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ· καὶ τὸν λόγον
ἐκράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες, τί ἐστι τὸ ἐκ νεκρῶν ἀνα-
στῆναι:–

Μωσῆν καὶ Ἠλίαν εἰς μέσον ἄγει· πρῶτον μὲν, ἐπειδὴ οἱ ὄχλοι
ἔλεγον αὐτὸν· οἱ μὲν Ἠλίαν· οἱ δὲ Ἱερεμίαν· ἢ ἕνα τῶν προφητῶν·
τοὺς κορυφαίους ἄγει· ἵνα τὸ μέσον κατίδωσι τῶν
δούλων καὶ τοῦ δεσπότου· καὶ ἐπειδὴ συνεχῶς ἐνεκάλουν αὐ-
τῷ ὅτι παραβαίνει τὸν νόμον, καὶ βλάσφημον αὐτὸν εἶναι ἐ-
νόμιζον· ὡς σφετεριζόμενον δόξαν οὐ προσήκουσαν αὐτῷ τὴν
τοῦ πατρός· ἴσον ἑαυτὸν ποιῶν τῷ πατρί· ἵνα τοίνυν δειχθῇ
ὡς τούτων ἐστὶν ἀνεύθυνος, τοὺς ἐν ἑκατέρῳ λάμψαντας εἰς
μέσον ἄγει· καὶ γὰρ Μωσῆς τὸν νόμον ἔδωκε· καὶ ἠδύναντο

ΚΕ Περὶ τῆς μεταμορφώσεως τοῦ Ἰυ̃:

ἐμφανίζων τῇ θνητότητι· ζητήσεις δέ τις ὁ μὲν γευόμενος θανάτου· καὶ φήσεις ὅτι ὁ ἐσθίων τὸν ζῶντα ἄρτον· τουτέστι τὸν τοῦ λόγου σῶμα ἀληθινὴν τροφήν· καὶ πίνων τὸ αἷμα τοῦ λόγου τὸ ἀληθινὸν ποτόν, οὐ γεύεται θανάτου· καὶ ὁ ποιῶν τὸ γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κσ̃· γεύεται δὲ θανάτου, ὁ ἐσθίων ἀπὸ τοῦ δράκοντος, περὶ οὗ γέγραπται· ἔδωκεν αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι· καὶ ὁ ἐσθίων ὡς μεῖς μαμμηγάστην· εἰσὶ δέ, οἱ ἐμφοροῦνται θανάτου· ἐπεὶ οὖν γεύεται θανάτου, ὁ ἐσθίων ἀπὸ τοῦ ξύλου τῆς γνώσεως· γεύεται δὲ θανάτου, ὁ ἐσθίων ἀπὸ τοῦ ξύλου ἐφ' ᾧ εἴρηται· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἐπιγεύονται θανάτου, οἱ ποικιλῶς ἁμαρτάνοντες· ἐπὶ πολλὴ λογικῶν, διὸ ἔχει δόγματα αὐτῶν φαύλων, τρέφονται μελετῶν καὶ βρῶμα ἄρτον· ὅσα δὲ εἰ ἔλαττον καιρὸν τὸ δεῖ ἐν θάνατον, οὐ μεῖζον τὸ γεύσασθαι αὐτοῦ· οὐ χεῖρον τὸ ἀκολουθεῖν θάνατον· τιμιώτερον μεῖζον τὸ καταποθῆναι ὑπὸ θανάτου· [illegible] ζωὴ ὁ Χς̃· θάνατος δὲ ὁ διάβολος:–

εἰς τὴν μεταμόρφωσιν:

Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰς̃ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην· καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένοντο στίλβοντα λευκὰ λίαν ὡσεὶ χιών· οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι:–

Ὁ Λουκᾶς, μετὰ ὀκτὼ εἶπεν ἡμέρας, οὐκ ἐναντιούμενος τούτῳ· ἀλλὰ καὶ σφόδρα συνᾴδων· ὁ μὲν γὰρ καὶ αὐτὴν τὴν ἡμέραν καθ' ἣν ἐφθέγξατο λέγει· καὶ ἐκείνην, καθ' ἣν ἀνήγαγεν· οὗτος δὲ τὰς μεταξὺ τούτων μόνον λαμβάνει, τοὺς κορυφαίους τοίνυν τῶν μαθητῶν λαβών, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· οὗτοι γὰρ τῶν ἄλλων ἦσαν ὑπερέχοντες· καὶ ὁ μὲν Πέτρος ἐκ τοῦ σφόδρα φιλεῖν αὐτόν, ἐδήλου τὴν ὑπεροχήν· ὁ δὲ Ἰωάννης ἐκ τοῦ σφόδρα φιλεῖσθαι· καὶ Ἰάκωβος δὲ, ἀπὸ τῆς ἀποκρίσεως ἣν ἀπεκρίνατο μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, λέγων· δυνάμεθα πιεῖν τὸ ποτήριον· οὐκ ἄλλους δὲ αὐτοὺς ἀνάγει· ὡς ἐπειδὴ ἔμελλεν ἀποθνῄσκειν ἀνθρώπων μόνον τοῖς [illegible] μαθηταῖς· διὰ τοῦτο οὐδὲ τὰ ὀνόματα τῶν μαθητῶν τῶν ἄλλων λέγει·

δὲ διὰ τὸ περὶ τῶν σκηνῶν αἱρεῖσθαι τὸ μὴ σταυρωθῆναι βουλόμενον· —

Οὐ γὰρ ᾔδει τί λαλήσει· ἦσαν γὰρ ἔκφοβοι·

Ὁ φόβος δὲ ἐκεῖνος, τῆς κοινοτέρας διανοίας [illegible] εἶχε καὶ ἄλλως· ἢ οὖν καὶ αὐτὸς καὶ οἵτινες εἶδον [illegible]. Ἐγνώρισαν ὅτι Μωσῆς καὶ Ἠλίας· ὥστε τὴν ψυχὴν πρὸς τὸν τοῦ θείου πόθον ἐκ τῆς ὑπὸ τούτου κινήσεως. Καὶ ταῦτα δεῖ τῶν ἀνθρωπίνων μεταμείβεσθαι· ὥσπερ ὑπὸ τοῦ θεωρουμένου μακαρίου θεάματος. Καὶ ὑπὸ τῆς ἐγγινομένης αὐτῷ κινήσεως σωματικῆς, ὥστε πρὸς τὸ χωρεῖν [illegible] τῆς ἀνθρωπίνης φύσεως, φανέντος ἐννοεῖ καὶ λέγει· καὶ ὡς δὴ σκηνὰς [illegible] τοῦ παρόντος αὐτῷ τῶν φανέντων· σκηνὰς ποιεῖν τῶν τριῶν ἐννοεῖ· οὐκ ἐννοήσας ἐν τῷ παραυτίκα ἐκείνῳ [illegible]· οὐδ' ὅτι πρὸς ἔνδειξιν τῆς ἐρχομένης δόξης ἐπεφάνη τότε καὶ μετεμορφώθη ὁ κ(ύριο)ς· οὐδ' ὅτι καὶ Μωσῆς ἐν ψυχῇ οὐκ ἐν σώματι [illegible]· οὐδ' ὅτι τῆς [illegible] Ἠλίας. Καὶ ἴσως [illegible] ἐποίει ἕνεκεν· καὶ οὐχ οἷόν τε ἦν ἀπολιπεῖν τοὺς πολλούς, καὶ τὸ ὄρος οἰκεῖν· τί οὖν ὁ Χ(ριστό)ς· αὐτὸς μὲν οὐδὲν φθέγγεται· οὐδὲ Μωσῆς· οὐδὲ Ἠλίας· ὁ δὲ πατὴρ πάντων μείζων καὶ ἀξιοπιστότερος, ὁ πατήρ· φωνὴν ἀφίησιν ἐκ τῆς νεφέλης· [illegible] τοῦ θ(εο)ῦ ἡ φωνὴ φέρεται· ἐκεῖθεν ἔρχεται καὶ φωνὴν ἀφίησιν ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· τοῦτ' ἔστιν ἐν ᾧ ἀναπαύομαι [illegible]· διὰ τοῦτο καὶ τοῦ πατρὸς [illegible] πρὸς αὐτὸν [illegible]. Καὶ κωλύων ἐν [illegible] εἶναι καὶ [illegible] υἱὸν καὶ τοῦ πατρὸς ἓν εἶναι πρὸς τὸν γεννήσαντα· —

Αὐτοῦ ἀκούετε. Κἂν σταυρωθῆναι μέλλῃ, μὴ ἀντιπίπτετε· μνημονεύσας δὲ τῆς ἱστορίας, [illegible] ῥαντες τε μετὰ [illegible] ὅταν πρὸς [illegible] ἐκκλησίαν· καὶ [illegible] καὶ [illegible] υἱὸς [illegible] τούτου [illegible] σημεῖον τοῦτο· καὶ μὲν [illegible] καὶ ἐν δεξιοτέρῳ καὶ ἄλλοι ἕτερον [illegible] τὸν λόγον· ἱμάτια δὲ λευκὰ τὰ εὐαγγέλια καὶ ἀποστολικὰ γράμματα [illegible]· ὡς τὸ [illegible] λευκὸν φῶς· λάμπων [illegible] καὶ [illegible]

λογίσωνται· ὅτι εἰ καὶ παρέβαινε τοὺς νόμους αὐτὸν ὡς ἐνόμιζον
οἱ Ἰουδαῖοι· καὶ τὸν παραβαίνοντα αὐτὸν καὶ τὸν τεθεικότα
πολέμιον ὄντα, ἐθεράπευσεν ἄν. Καὶ Ἠλίας δὲ ὑπὲρ τῆς
δόξης τοῦ θεοῦ ἐζήλωσε· καὶ οὐκ ἂν εἰ ἀντίθεος ἦν· καὶ ἑ-
αυτὸν ἔλεγεν ἴσον τῷ πατρὶ μὴ ὢν ὅπερ ἔλεγε, παρέστη καὶ αὐ-
τὸς καὶ ὑπήκουσε. Καὶ πάλιν ἵνα μάθωσιν, ὅτι θανάτου
καὶ ζωῆς ἐξουσίαν ἔχει· καὶ τῶν νεκρῶν καὶ τῶν ζώντων κρατεῖ·
διὰ τοῦτο καὶ τὸν τετελευτηκότα· καὶ τὸν οὐδέπω τοῦτο
παθόντα, εἰς μέσον ἄγει. Καὶ τελευταῖον, τοῦ σταυροῦ δεῖξαι
τὴν δόξαν βουλόμενος. ἔλεγον δὲ τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελ-
λε πληροῦν ἐν Ἱερουσαλήμ. Καὶ πάλιν Μωϋσῆς καὶ Ἠλίας ἐν τῇ
παρούσῃ δόξῃ συμπαρόντες, ἔδειξαν αὐτὸ καὶ συμπαρεσόμε-
νοι ποτέ· σημεῖον τῆς διαμονῆς καὶ τῶν προφητῶν τε
σημαινομένης παλαιᾶς δυναστείας· ὡς τὸ συναφθῆναι καὶ παρ' αὐτῶν
τῷ τελείῳ δωρουμένῳ χάριν. τὸν παλαιὸν σὺν τῷ νέῳ νόμον καὶ
τοὺς προφήτας· ὧν αὐτὸν πάντως σημαίνει· καὶ ἀπαρχὴ προφη-
τῶν Ἠλίας. ὁ Μωϋσῆς καὶ εἰς τὴν Μαρτυρίαν τοῦ ἰλο
περ λέγεται ἐλλείματα προφητείας. δηλοῖ δὲ καὶ
σαφήνειαν παλαιᾶς καὶ νέας· ὅτι συμπεφωνήκασιν ἐν
τῷ σταυρωθέντι, ἀπόστολοι καὶ προφῆται· καὶ μετὰ
κοινωνίαν τῆς ἀπάσης πίστεως τοὺς ἀπελθόντας· τί ὧδε
προ·   Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι φησίν· ἐπειδὴ ἀ-
κούσας ὅτι εἰς τὰ Ἱεροσόλυμα δεῖ αὐτὸν ἀπελθεῖν καὶ πα-
θεῖν, δεδοικὼς ἔτι καὶ τρέμων ὑπὲρ αὐτοῦ καὶ μετὰ τὴν
ἐπιτίμησιν προσελθεῖν μὲν καὶ εἰπεῖν τὸ αὐτὸ πάλιν τοῦτο,
οὐ τολμᾷ ὅτι ἵλεώς σοι· ἀπὸ δὲ τοῦ φόβου ἐκείνου τὰ αὐ-
τὰ πάλιν αἰνίττεται δι' ἑτέρων ῥημάτων.

Σοὶ μίαν καὶ Μωσεῖ μίαν·   Ἐπειδὴ γὰρ εἶδεν ὄρος καὶ πολ-
λὴν τὴν ἐρημίαν, ἐνενόησεν ὅτι ἔχει πολλὴν ἀσφάλειαν· ἐ-
ντεῦθεν δέ. Καὶ ὅτι τὸν παρ' αὐτοῦ Μωϋσῆς ὁ εἰς τὸν γνόφον εἰσελ-
θὼν καὶ τῷ θεῷ διαλεχθείς· καὶ Ἠλίας ὁ ἀπὸ τοῦ ὄρους
πῦρ καταγαγών· καὶ οὐδεὶς εἰσελθεῖν δυνήσεται· ὅτι ὧδε ὄντων
ποιήσωμεν φησὶ τρεῖς σκηνάς· σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ Ἠλίᾳ
μίαν· καὶ ὅτι ἄμεινον τὰ λέγειν συνέχεται τὸ ὅλον· συγκρίνει γὰρ
δοῦλον δεσπότῃ· οὐκ ἔδει δὲ συγκρίνειν τοῖς αὐτοῖς ἰσότιμα·

κϛ περὶ τοῦ σεληνιαζομένου:

σκουσιν ἔρχεσθαι· πῶς θαυμάζεσθαι δεῖ εἰ ψεύδονται· τί οὖν ὁ Χριστὸς πρὸς ταῦτα· ὁ Ἠλίας μὲν ἔρχεται πρότε, τουτέστι πρὸ τῆς δευτέρας παρουσίας· αἱ μὲν γὰρ γραφαὶ δύο λέγουσι τοῦ Χριστοῦ παρουσίας· ταύτην τε τὴν γεγενημένην καὶ τὴν μέλλουσαν· τῆς μέντοι δευτέρας, πρόδρομον λέγουσι τὸν Ἠλίαν ἔσεσθαι· τῆς γὰρ προτέρας, Ἰωάννης ἐγένετο, ὃν καὶ Ἠλίαν ὁ Χριστὸς καλεῖ· οὐκ ἐπειδὴ Ἠλίας ἦν· ἀλλ᾽ ἐπειδὴ τὴν διακονίαν ἐπλήρου τὴν τοῦ Ἠλίου· ὡς γὰρ ἐκεῖνος πρόδρομος ἔσται τῆς δευτέρας παρουσίας, οὕτως οὗτος τῆς προτέρας ἐγένετο· ἀλλ᾽ οἱ γραμματεῖς ταῦτα συγχέοντες καὶ διαστρέφοντες τὸν δῆμον, ἐκείνης ἐμνημόνευον μόνης τῆς δευτέρας· διὰ τοῦτο καὶ οἱ μαθηταὶ λέγουσι, πῶς οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον· πρὸς ὃ ὁ Χριστὸς φησίν· ὅτι Ἠλίας ἐλθὼν, πρῶτον ἀποκαθιστᾷ πάντα· πρὸ τῆς δευτέρας δηλονότι παρουσίας· καὶ νῦν δὲ ἐλήλυθεν, Ἠλίαν τὸν Ἰωάννην εἰπών· εὐκαίρως δὲ ταῦτα μὲν αὐτοῖς ἀναμιμνήσκει τοῦ πάθους· τὰς αὐτῶν τῶν γεγραμμένων [illegible] μαρτυρίας· ἀλλὰ καὶ εἰς Ἰωάννην φησὶν ἐποίησαν ὅσα ἠθέλησαν· ὃν καὶ Ἠλίαν καλεῖ διὰ τὴν τῆς διακονίας κοινωνίαν:

Καὶ πῶς γέγραπται παθεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου· πάλιν ἐπανῆλθον τὸ αὐτὸ οἱ μαθηταί· πῶς γέγραπται παθεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου· εἶτα πρὸς τοῦτο φησί· λέγω ὑμῖν· ὅτι ὥσπερ ἐλήλυθεν ὁ [illegible] Ἰω· καὶ πάνδεινα πέπονθεν, οὕτω καὶ κατὰ τὰ γεγραμμένα παθεῖν δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου:

„ Καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε πρὸς
„ ἑαυτούς· καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· διδάσκα-
„ λε, ἤνεγκα τὸν υἱόν μου πρὸς σέ· ἔχοντα πνεῦμα ἄλαλον·
„ καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν καὶ ἀφρίζει
„ καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται· καὶ εἶπον
„ τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι καὶ οὐκ ἴσχυσαν· ὁ δὲ
„ ἀποκριθεὶς αὐτῷ λέγει· ὦ γενεὰ ἄπιστος· ἕως πότε πρὸς
„ ὑμᾶς ἔσομαι· ἕως πότε ἀνέξομαι ὑμῶν· φέρετε αὐτὸν
„ πρός με· καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν εὐ-
„ θέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς,
„ ἐκυλίετο ἀφρίζων· καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· πόσος

κζ
[illegible]

τὴν λέξιν αὐτῶν· ἢ ὅτι οὐδεὶς οὕτω τῶν ἐπιδημησάντων σαφῶς τῶν ἄλλων ὡς ὁ Χριστὸς· ἴσχυσε λευκᾶναι φύσιν τὴν λογικήν· γναφεῖς δὲ εἰσὶν ἐπὶ γῆς οἱ τοῦ αἰῶνος τούτου σοφοί· ἐπιμελούμενοι λέξεως λαμπρᾶς καὶ καθαρᾶς· ὡς καὶ δι' αὐτῆς κοσμεῖσθαι δοκεῖν, κἂν αἰσχρῶν ῥημάτων ἔχῃ καὶ ψευδῆ δόγματα· ὁ δὲ λόγος ταῖς ὑπό τινων καταφρονουμέναις λέξεσι τῆς γραφῆς, τὴν τῶν νοημάτων στίλψιν ποιεῖ· προτιμότερον δέ. οἱ ἀναβαίνοντες εἰς ὕψος δογμάτων ἀληθείας καὶ ἰδόντες καὶ Μωϋσῆν, νόμον· προφήτας. θέλουσί τε ἐν αὐτοῖς σκηνὰς τούτοις ποιῆσαι. καὶ διάζειν ἐν τῷ θεωρητικῷ ὅλῳ παραμείναι κενοῖς· ἐπεὶ ἡ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς :–

Διεστείλατο αὐτοῖς. Οὐχ ἁπλῶς κελεύει σιγᾶν· ἀλλὰ πάλιν τοῦ πάθους ἀναμιμνήσκων. Καὶ μονονουχὶ τὴν αἰτίαν λέγων· δι' ἣν καὶ σιγᾶν ἐκέλευεν· οὐ γὰρ δι' ἀπάντων τὸ ἐκεῖ λαλούμενον δεῖν εἰπεῖν· ἀλλ' ἕως ἂν ἀναστῇ ἐκ νεκρῶν. Καὶ τὸ διαχρεστήσας, τὸ χρηστὸν ἐμφαίνει μόνον. ἐκεῖνοι δὲ τὸ περὶ τῆς ἀναστάσεως μὴ συνιέντες μυστήριον· τὸν μὲν λόγον ἐκράτησαν· καὶ πρὸς ἑαυτοὺς συνεζήτουν τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι :–

τῇ παρ α
τῆς ἑβ ι

» Καὶ ἐπηρώτων αὐτὸν λέγοντες· ὅτι λέγουσιν οἱ γραμματεῖς
» ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον· ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐ-
» τοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ τὰ πάντα·
» καθὼς γέγραπται καὶ ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ
» πάθῃ· καὶ ἐξουδενωθῇ· ἀλλὰ λέγω ὑμῖν· ὅτι Ἠλίας ἐλή-
» λυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν καθὼς γέγραπται
» ἐπ' αὐτόν· Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πο-
» λὺν περὶ αὐτούς· καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς·
» καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν, ἐξεθαμβήθη· καὶ
» προστρέχοντες ἠσπάζοντο αὐτόν :–

Οὐκ αὐτοὶ προεγράφησαν δὲ ταῦτα ἰδόντες· ἀλλ' ἐκεῖνοι αὐτοῖς διεσάφουν. Καὶ περιεφέρετο ὁ λόγος οὗτος ἐπὶ τῷ ἀπειρωδῆ ἐκεῖ· οὐχ ὡς ἀγχιν παρ' ἐκείνων ἑρμηνευόμενος· τὸ δ' ὄχλου ἐκθαμβῆσαι ἐπὶ τῇ ὄψει τῶν μαθητῶν, τοιοῦτον εἶναί μοι φαίνεται· ἢ μᾶλλον τὸν Ἠλίαν συνῳδεῖ εἰδότων· καὶ προσάγοντες ἐγκόπτειν αὐτοῦ· οἱ δὲ γραμματεῖς, Ἠλίαν πρῶτον σου διδά-

κϛ´ περὶ τοῦ σεληνιαζομένου:

ἤκουσιν ἔρχεσθαι· [illegible] θαυμάζεσθαι δὲ εἰ ἐκδέδονται· πῶς οὖν ὁ χ͞ς
πρὸς ταῦτα· ὁ ἠλίας μὲν ἔρχεται πρότερον, τουτέστι πρὸ
τῆς δευτέρας παρουσίας· αἱ μὲν γὰρ γραφαὶ δύο λέγουσι τοῦ
χ͞υ παρουσίας· ταύτην τε τὴν γεγενημένην καὶ τὴν μέλλου-
σαν· τῆς μέντοι δευτέρας, πρόδρομον λέγουσι τὸν ἠλίαν·
ἔσεσθαι· τῆς γὰρ προτέρας, ἰωάννης ἐγένετο, ὃν καὶ ἠ-
λίαν ὁ χ͞ς καλεῖ· οὐκ ἐπειδὴ ἠλίας ἦν· ἀλλ᾽ ἐπειδὴ τὴν δια-
κονίαν ἐπλήρου τὴν τοῦ ἠλίου· ὥσπερ γὰρ ἐκεῖνος πρό-
δρομος ἔσται τῆς δευτέρας παρουσίας, οὕτως οὗτος τῆς προ-
τέρας ἐγένετο· ἀλλ᾽ οἱ γραμματεῖς ταῦτα συγχέοντες καὶ δια-
στρέφοντες τὸν δῆμον, ἐκείνης ἐμνημόνευον μόνης τῆς
δευτέρας· διὰ τοῦτο καὶ οἱ μαθηταὶ λέγουσι· πῶς οἱ γραμμα-
τεῖς λέγουσιν ὅτι ἠλίαν δεῖ ἐλθεῖν πρῶτον· πρὸς οὓς ὁ κ͞ς
φησίν· ὅτι ἠλίας ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα· πρὸ
τῆς δευτέρας δηλονότι παρουσίας· καὶ μὴν δὲ ἐλήλυθεν ἠ-
λίαν τὸν ἰωάννην εἰπών· εὐκαίρως δὲ ποιεῖται μνήμην αὐτοῦ· ἀνα-
μιμνήσκει τοῦ πάθους· τὰς ἀπὸ τῶν γεγραφότων [illegible]
μαρτυρίας· ἀλλὰ καὶ εἰς ἰωάννην φησὶν ἐποίησαν ὅσα ἠθέλη-
σαν· ὃν καὶ ἠλίαν καλεῖ διὰ τὴν τῆς διακονίας κοινωνίαν:

Καθάπερ [illegible] γέγραπται παθεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου, πάλιν ἐπεὶ
[illegible] οἱ αὐτοῦ μαθηταί· πῶς γέγραπται παθεῖν τὸν υἱὸν τοῦ
ἀνθρώπου· εἶτα πρὸς τοῦτό φησι· λέγω ὑμῖν· ὅτι [illegible] ἐλήλυ-
θεν ὁ [illegible]· καὶ [illegible]·
οὕτω καὶ κατὰ τὰ γεγραμμένα παθεῖν δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου: —

» Καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε πρὸς κ͞δ
» ἑαυτούς· καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· διδάσκαλε τῇ κ͞ε
» ἤνεγκα τὸν υἱόν μου πρὸς σέ· ἔχοντα πνεῦμα ἄλαλον·
» καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν καὶ ἀφρίζει
» καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται· καὶ εἶπον
» τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι καὶ οὐκ ἴσχυσαν· ὁ δὲ
» ἀποκριθεὶς αὐτῷ λέγει· ὦ γενεὰ ἄπιστος· ἕως πότε πρὸς
» ὑμᾶς ἔσομαι· ἕως πότε ἀνέξομαι ὑμῶν· φέρετε αὐτὸν
» πρός με· καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν εὐ-
» θέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς
» ἐκυλίετο ἀφρίζων· καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· πόσος

τὴν λέξιν αὐτῶν· ἢ ὅτι οὐδεὶς οὕτω τῶν ἐπιδεικνυμένων σαφῶς τῶν ἔργων
ὡς ὁ Χριστὸς ἴσχυσε λευκᾶναι φύσιν τὴν λογικήν· γναφεῖς δὲ εἰσὶν
ἐπὶ γῆς οἱ τοῦ αἰῶνος τούτου σοφοί· ἐπιμελούμενοι λέξεως
λαμπρᾶς καὶ καθαρᾶς· ὡς καὶ δι᾽ αὐτῆς κοσμεῖσθαι δοκεῖν,
κἂν αἰσχρὰ ῥήματα ἔχωσι καὶ ψευδῆ δόγματα· ὁ δὲ λόγος ταῖς
ὑπό τινων καταφρονουμέναις λέξεσι τῆς γραφῆς, τὴν τῶν νοη-
μάτων στίλψιν ποιεῖ· [illegible] δέ, οἱ ἀναβαίνοντες
εἰς ὕψος δογμάτων ἀληθείας· καὶ ἰδόντες καὶ Μωϋσῆν, νόμον·
προφήτας. θέλουσι πήξειν αὐτοῖς σκηνὰς τούτοις παροικῆσαι·
καὶ [illegible] ἐν τῷ θεωρητικῷ [illegible] οἷς· ἐπεὶ ἡ
ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς :-

Διεστείλατο αὐτοῖς. Οὐχ ἁπλῶς κελεύει σιγᾶν· ἀλλὰ πά-
λιν τοῦ πάθους ἀναμιμνήσκων· καὶ μονονουχὶ τὴν αἰτίαν
λέγων· δι᾽ ἣν καὶ σιγᾶν ἐκέλευεν· οὐ γὰρ διὰ παντὸς ἐκέλευσε
μηδενὶ εἰπεῖν· ἀλλ᾽ ἕως ἂν ὁ υἱὸς ἐκ νεκρῶν· καὶ τὸ [illegible]
[illegible], τὸ χρηστὸν ἐμφαίνει μόνον· ἐκεῖνοι δὲ τὸ περὶ τῆς
ἀναστάσεως μὴ συνιέντες τὸ μυστήριον· τὸν μὲν λόγον ἐκρά-
τησαν· καὶ πρὸς ἑαυτοὺς συνεζήτουν τί ἐστι τὸ ἐκ νεκρῶν
ἀναστῆναι :-

τῆ παρ α
τί εβ
ι

Καὶ ἐπηρώτων αὐτὸν λέγοντες· ὅτι λέγουσιν οἱ γραμματεῖς
ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον· ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐ-
τοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα·
καθὼς γέγραπται καὶ ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πολλὰ
πάθῃ· καὶ ἐξουδενωθῇ· ἀλλὰ λέγω ὑμῖν· ὅτι Ἠλίας ἐλή-
λυθε· καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν καθὼς γέγραπται
ἐπ᾽ αὐτῷ· καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς, εἶδεν ὄχλον πο-
λὺν περὶ αὐτούς· καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς·
καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν αὐτὸν, ἐξεθαμβήθη· καὶ
προστρέχοντες ἠσπάζοντο αὐτόν :-

Οὐκ ἀπὸ γραφῆς δὲ τοῦτο ἔλεγον· ἀλλ᾽ ἐκεῖνοι αὐτοῖς διεσάφουν·
καὶ περιεφέρετο ὁ λόγος οὗτος ἐν τῷ ἀπείρῳ δήμῳ· οὐχ ὡς
ἀρχαῖον παρ᾽ ἐκείνων ἑρμηνευόμενος· τὸ δ᾽ ὅλον βούλημα τῆς
ἐννοίας τῶν μαθητῶν, τοιοῦτον εἶναί μοι φαίνεται·
ἡμεῖς μὲν τὸν Ἠλίαν σὺν σοὶ εἴδομεν· καὶ πρότερον σε ἑωρα-
κότα αὐτοῦ· οἱ δὲ γραμματεῖς, Ἠλίαν πρῶτον σου διδά-

Καίτοι μὴ προσήκον τῷ ἐμμονῆσαι περὶ αὐτῶν· ὅταν δὲ εἴπῃ
ἕως πότε ἔσομαι μεθ' ὑμῶν, δείκνυσι πάλιν αὐτοῖς ποθεινὸν τὸν
θάνατον αὐτοῦ· καὶ ὅτι οὐ τὸ σταυρωθῆναι, ἀλλὰ τὸ εἶναι
» μετ' αὐτῶν μακρόν· εἶτά φησι· φέρετε αὐτὸν πρός με:· Καὶ ἀ-
φίησιν αὐτὸν σπαράττεσθαι· οὐ πρὸς ἐπίδειξιν· ἐπειδὴ γοῦν ὁ
ὄχλος συνέτρεχε, τότε ἐπετίμησεν αὐτῷ· ἀλλὰ διὰ τὸν πατέρα τοῦ παι-
δός· ἵν' ὅταν ἴδῃ θορυβούμενον τὸ δαιμόνιον ἀπὸ τοῦ κληθῆ-
ναι μόνον, κἂν οὕτως ἐναχθῇ εἰς τὴν πίστιν τοῦ ἐσομένου θαύ-
ματος· ἐπειδὴ δὲ οὗτος εἶπεν εἰ δύνασαι βοήθει μοι, λέγει
τῷ πιστεύοντι, πάντα δυνατά· πάλιν εἰς αὐτὸν περιτρέ-
πων τὸ ἔγκλημα· ὁ δὲ λέγει τοιοῦτόν ἐστι· τοσαύτη παρ' ἐμοὶ
δύναμις περιουσίᾳ, ὡς καὶ ἑτέρους ποιεῖν τὰ τοιαῦτα θαυμα-
τουργεῖν· ὥστε ἂν πιστεύσῃς ὡς δεῖ, καὶ αὐτὸς δυνήσῃ αὐτὸν
θεραπεῦσαι καὶ τοῦτον καὶ ἑτέρους πολλούς· ἀμὴν καὶ προ-
τρέπων ἐπὶ τὴν πίστιν:· πιστεύω κε· Ὁ δὲ [illegible] λέγει χ̄ω̄ αὐτῷ·
[illegible] πιστεύω [illegible] βοήθει μου τῇ ἀπιστίᾳ· [illegible] φησὶ [illegible]
θεραπεῦσαι τῇ ἀπιστίᾳ· λεγόμενον οὖν ὅτι διάφορος ἐστὶν ἡ πίστις·
ἡ μὲν εἰσαγωγική, ἡ δὲ τελεία· ἀρξάμενος οὖν πιστεύειν, ἐ-
δεῖτο τοῦ σωτῆρος αὐτὸς αὐτοῦ δυνάμει προσθεῖναι τὸ λεῖπον·
αὐτὸ γὰρ καὶ οἱ μαθηταὶ ἔλεγον τῷ σωτῆρι· πρόσθες ἡμῖν πίστιν·
ἐπεὶ τοῦτο ἐπιτάξαι καὶ τὴν ἐξουσίαν ἐξέφηνε· φησὶ γάρ·
τὸ ἄλαλον καὶ κωφὸν πνεῦμα, ἐγώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐ-
τοῦ· καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν· καὶ τὸ μὲν ἐγώ σοι ἐπιτάσσω
φησὶ· τὴν θεϊκὴν ἐξουσίαν δεικνύς· τὸ δὲ μὴ μόνον ἐξελθεῖν,
ἀλλὰ καὶ μηκέτι εἰσέλθῃς φησί· διότι καὶ πρὸς δευτέραν ἐπί-
θεσιν εὔκολος ἦν ὁ μὴ τῇ πίστει πεφραγμένος· καὶ δὴ καὶ
οὕτω δὴ ὀλέθριος ἡ τοῦ δαίμονος ἀπόλυσις· ὥστε καὶ νεκρὸν
νομίζειν τὸν παῖδα· οὐ γὰρ ἴσχυσεν εἰς θάνατον καταγαγεῖν
διὰ τὴν τοῦ χ̄ῡ παρουσίαν· καὶ ἐξελήλυθε τὸ δαιμόνιον·
τότε οἱ μαθηταὶ ἰδίᾳ αὐτῷ δεόμενοι προσέρχονται· καὶ ἐρω-
τῶσι, διότι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό· οὐκ αἰσχυ-
νόμενοι· ἀλλὰ δοκοῦσιν ἀγωνιᾶν καὶ δεδοικέναι, μήποτε
τὴν χάριν ἣν ἐπιστεύθησαν, ἀπώλεσαν· ἔλαβον γὰρ ἐξουσίαν
κατὰ δαιμόνων ἀκαθάρτων:·

» Τ Οὕτω τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν:· Τί οὖν ὁ χ̄ς̄ τὸ

ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ· ὁ δὲ εἶπε· παιδιόθεν· καὶ πολλάκις αὐτὸν καὶ εἰς τὸ πῦρ ἔβαλε· καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς· ὁ δὲ ἰς̄ εἶπεν αὐτῷ· εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι· καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· πιστεύω κ̄ε· βοήθει μου τῇ ἀπιστίᾳ· ἰδὼν δὲ ὁ ἰς̄ ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν· ἐγώ σοι ἐπιτάσσω ἔξελθε ἐξ αὐτοῦ· καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν· καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτόν, ἐξῆλθε καὶ ἐγένετο ὡσεὶ νεκρός· ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν· ὁ δὲ ἰς̄ κρατήσας αὐτὸν τῆς χειρός, ἤγειρεν αὐτὸν καὶ ἀνέστη· καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν· ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό· καὶ εἶπεν αὐτοῖς· τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ :—

6 Τὸν δαίμονα τοῦτον σφόδρα κατὰ τὴν [illegible] αὐθάδη ὄντα δείκνυσιν ἡ γραφή· καὶ ἐκ πολλῶν τοῦτον δῆλον· ἔκ τε τοῦ εἰπεῖν αὐτὸν τὸν πατέρα τοῦ ἰαθέντος βοήθει μου τῇ ἀπιστίᾳ. Καὶ ἐκ τοῦ κελεῦσαι τῷ δαίμονι, μηκέτι εἰσελθεῖν εἰς αὐτόν. Καὶ εἰ ἡ ἀπιστία αὐτοῦ γέγονεν αἰτία τοῦ μὴ ἐξελθεῖν τὸν δαίμονα; τί τοῖς μαθηταῖς ἐγκαλεῖ, δεικνὺς ὅτι δυνατὸν αὐτοῖς καὶ χωρὶς τῶν προσαγόντων μετὰ πίστεως, πολλαχοῦ θεραπεῦσαι· ὥσπερ γὰρ ἀρκεῖ πολλάκις ἡ τοῦ προσάγοντος πίστις εἰς τὸ καὶ παρ' ἐλαττόνων λαμβάνειν ἴασιν· οὕτω τῶν ποιούντων πολλάκις ἤρκεσεν ἡ δύναμις καὶ μὴ πιστευόντων τῶν προσελθόντων, θαυματουργῆσαι :—

Καὶ εἶπον τοῖς μαθηταῖς σου :— Θέα τούτου καὶ ἑτέρωθεν τὴν ἀγνωμοσύνην· πῶς καὶ ἐν τῷ ὄχλῳ ἐντυγχάνει τῷ ἰῦ̄ κατ' αὐτῶν τῶν μαθητῶν· λέγων ὅτι προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου· καὶ οὐκ ἴσχυσαν αὐτὸν θεραπεῦσαι· διὰ τοῦτο καὶ ὁ χ̄ς̄ ἐπὶ τοῦ δήμου τούτου μᾶλλον τὸ πλέον λογίζεται καὶ φησίν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη· οὐκ εἰς τὸ τούτου πρόσωπον ἀποτεινόμενος μόνον· ἀλλὰ καὶ εἰς πάντας ἰουδαίους. Καὶ γὰρ εἰκὸς πολλοὺς τῶν παρόντων σκανδαλισθῆναι·

το· ὅτι πανταχοῦ περὶ αὐτοῦ καταφωνῇ· καὶ τὸ λογισθὲν, ὡς ὑβρισ-
θὲν· καὶ ὅσα τοῦ λελεγμένου· τὸ θᾶττον μὲν οὖν τῆς ὑπερ-
τοῦ Κυ(ρίο)υ ἡμῶν, αὐξάνον τοῦτο καὶ ὅσα μετὰ μέχοντες· ὅσοι δὲ πρό-
σεισι τοῦ πόθου· καὶ τὸ μεγαλώτερον πρὸς ἑαυτούς· ὡς γὰρ μέγας τ…
ὤν, οὕτω καὶ μεγάλων ἡμῶν ὀρέγεται· διὰ τοῦτο τὴν μὲν αὐτῶν
φιλίαν καὶ κατακόλουθ· τὴν δὲ ταπεινοφροσύνην εἰσηγήσατο· οὐ
πως αὐτοὺς παίζεσθαι τοῦ ὑπερκειμένου λέγων· εἰ μὲν μέγα φρονοῖ-
ε φ[illegible]· ἀλλ' ἀπολέγει τι χρήσασθαι τὸ παιδίον· ὡς μὴ δὲ μίαν
[illegible] ἔφ' ἑαυτοῖς ὑπόληψιν·:

„Καὶ καθίσας, ἐφώνησε τοὺς δώδεκα· Ἀ[illegible]
αὐτῶν τὸ συνειδός· καὶ πρὸς τὸ παύσασθαι τοῦ ἐρίζεσθαι· οὐχ ὡς
[illegible] πρὸς τὸ ῥῆμα τοῦτο· ὑμεῖς μὲν γάρ φησιν ἐξ ἑτέρων βελτίους
[illegible] καὶ περὶ πρωτείων φιλονεικεῖτε· ἐγὼ δὲ τὸν μὲν πάν-
των ἐπιθυμοῦντα πρῶτον, ὕστερον [illegible], οὐδὲ τῆς εἰσόδου ἀξιῶ φημί·
εἶναι καὶ [illegible] ὑστερεῖσθαι μέσον μικροί· καὶ [illegible] αὐτοῖς
ἐν τῷ [illegible]· καὶ [illegible] ταπεινὸν καὶ ἁπλοῦν [illegible]·
καὶ [illegible] οὐ μόνον καὶ κενοδοξίας τὸ παιδίον· καὶ τοῦ
τῶν πρωτείων ὀρεγ[illegible]· οὐ μόνον δέ φησιν ἐὰν ποιοῦσι ταῦτα καθ-
[illegible] ἀλλὰ καὶ ἑτέρους τοιούτους [illegible] τιμῶσι
[illegible] μὴ ὑβρίζειν· ὅτι [illegible] διὰ Χ(ριστὸ)ν τοὺς τοιούτους
δεχόμενος, αὐτὸν Χ(ριστὸ)ν [illegible] δέχεται· καὶ δι' αὐτοῦ καὶ αὐτὸν
ποιεῖ τὸν πατέρα·:

„Εἴδομέν τινα τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια·:
Οὐ ζηλοτυπῶν [illegible] ὁ Ἰωάννης ὅτι [illegible] τοῦτο τοῦ
περί φησιν· ἀλλ' [illegible] Κυ(ρίο)υ [illegible] τὸ ὄνομα τοῦ
Χ(ριστο)ῦ· ἀκολουθεῖν αὐτῷ μὴ βουλόμενον· καὶ [illegible] αὐτό
[illegible]· ὅσοι δὲ [illegible] φησι [illegible]
πολλοὶ τῶν μὴ πιστευσάντων ἔλαβον χαρίσματα· ὥσπερ [illegible]
δαιμόνια ἐκβάλλειν· καὶ οὐκ ἦν μὲν [illegible] δ[illegible]
πάντες πρὸς πάντα [illegible] εἶχον· ἀλλ' [illegible]
καθαροῦ· πίστιν δὲ οὗτοι αὐτὴν εἶχον· οἱ δὲ [illegible]· καὶ
κείμενος διὰ τούτων προετρέποντο· ὥστε [illegible] δείξαντες
τὴν σπουδὴν καὶ πίστιν· καὶ τούτου διὰ τῆς [illegible]
τῆς δωρεᾶς· εἰς τὸ βελτίους γενέσθαι ἐξεκαλεῖτο·:

„Μὴ κωλύετε αὐτόν·: Ὅθεν καί φησιν ὁ σωτήρ· μὴ κωλύετε κζ΄ περὶ τῶν διαλογιζομένων τίς μείζων:

Τῶν δαιμόνων μὲν εἶδος διὰ τούτων ἔφη κατευθύνεσθαι· νηστεί-
λέγω καὶ προσευχῆς· εἰ δὲ καὶ χωρὶς νηστείας ἐξέβαλόν τινες δαι-
μόνας, ἀλλ' οὐ πάντοτε· οὐ μὴν χαμόν ποτε τρυφῶντα ἀπαλ-
λαγῆναι τῆς νόσου καὶ τῆς μανίας ταύτης· ὅτι δὲ καὶ γένος δαι-
μόνων ὁ διὰ προσευχῆς ἐξελαύνεται μόνης· ὁ τῶν πονηρῶν τῆς
ἐκφαυλίας λογισμοῖς ὑποβάλλει: –

τκβ΄ τ̄ / ε̄ ιε̄

» Καὶ ἐκεῖθεν δὲ ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας·
» καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ
» καὶ ἔλεγεν αὐτοῖς· ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖ-
» ρας ἀνθρώπων· καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς τῇ
» τρίτῃ ἡμέρᾳ ἀναστήσεται· οἱ δὲ ἠγνόουν τὸ ῥῆμα· καὶ ἐφο-
» βοῦντο αὐτὸν ἐπερωτῆσαι· καὶ ἦλθον εἰς Καπερναούμ·
» καὶ ἐν τῇ οἰκίᾳ γενόμενος, ἐπηρώτα αὐτούς, τί ἐν τῇ ὁδῷ πρὸς
» ἑαυτοὺς διελογίζεσθε· οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ
» διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων· καὶ καθίσας ἐφώνησε
» τοὺς δώδεκα καὶ λέγει αὐτοῖς· εἴ τις θέλει πρῶτος εἶναι ἔσται
» πάντων ἔσχατος· καὶ πάντων διάκονος· καὶ λαβὼν παιδίον,
» ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν· καὶ ἐναγκαλισάμενος αὐτό, εἶπεν
» αὐτοῖς· ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνό-
» ματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέ-
» χεται, ἀλλὰ τὸν ἀποστείλαντά με· ἀπεκρίθη καὶ αὐτῷ Ἰω(άννης) λέγων·
» διδάσκαλε· εἴδομέν τινα τῷ ὀνόματί σου ἐκβάλλοντα
» δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν· καὶ ἐκωλύσαμεν αὐτὸν ὅτι
» οὐκ ἀκολουθεῖ ἡμῖν· ὁ δὲ Ἰ(ησοῦ)ς εἶπε· μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ
» ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται
» ταχὺ κακολογῆσαί με· ὃς γὰρ οὐκ ἔστι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν
» ἐστιν· ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν ὀνόματί μου
» ὅτι Χ(ριστο)ῦ ἐστε· ἀμὴν λέγω ὑμῖν· οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ:

Διαλογισμὸς ἐπεὶ ἐνέπεσε τοῖς μαθηταῖς, ὡς ὁ Λουκᾶς φησί· καὶ ὁ
πρὸς ἀλλήλους διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων, ὡς ὁ Μάρκ(ος)
ἔφη· τὸν δὲ λόγον περὶ τοῦ διαλογισμοῦ αὐτῶν ἐκ τῆς ἰδίας
διαλέξεως ὁ Χ(ριστὸ)ς ἐμείζονα ταύτην τοῦ εὐαγγελίου τούτου ἱστορίαν·
ὁ γὰρ Ματθαῖος οὐ κοινωθεὶς κατὰ τὸ ἀκριβὲς τῆς διηγήσεως· ἀλλ' αὐτὸς ὁ
[illegible] τοὺς λόγους περὶ τῶν διαλογισμῶν [illegible]· ἐπειδὴ
καὶ ἰδίᾳ μόνοι ὄντες διαλεγόμενοι, ἔλεγον ἐν ἑαυτοῖς καὶ διαλεγομένων

μάλιστα καθάψασθαι βούληται, αἰσθηταῖς αὐτοὺς παραδείγμασι·
καὶ ἐν ταύτῃ τοίνυν βουλόμενος δεῖξαι ὅτι πολλὴν ὑποστήσον
ται τιμωρίαν· καὶ καθικέσθαι τῆς τῶν διαστρεφόντων αὐτοὺς
ἀπονοίας, αἰσθητὴν τὴν τιμωρίαν εἰς μέσον ἤγαγε· τοῦ μύλου καὶ
τοῦ καταποντισμοῦ· καὶ οὐκ εἶπεν ὁ μύλος κρεμασθήσε
ται εἰς τὸν τράχηλον αὐτοῦ· ἀλλὰ συμφέρει αὐτῷ, τοῦτο
ὑπομεῖναι· δεικνὺς ὅτι ἕτερον τούτου χαλεπώτερον αὐ
τὸν ἀναμένει κακόν:-

» Καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς
» ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον· εἰ περίκειται μύλος ὀνικὸς
» περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν·
» Καὶ ἐὰν σκανδαλίσῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν
» σοί ἐστι κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχον
» τα ἀπελθεῖν εἰς τὴν γέενναν· ἢ εἰς τὸ πῦρ τὸ ἄσβεστον· ὅ
» που ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται· καὶ
» ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν
» ἐστί σοι εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ δύο πόδας ἔχοντα βλη
» θῆναι εἰς τὴν γέενναν εἰς τὸ πῦρ τὸ ἄσβεστον· ὅπου ὁ σκώ
» ληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται· καὶ ἐὰν ὁ
» ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί ἐστι
» μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θ̅ῦ· ἢ δύο ὀφθαλ
» μοὺς ἔχοντα, βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός· ὅπου ὁ
» σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται:·

Οὐ περὶ μελῶν ταῦτα λέγει· ἀλλὰ περὶ τῶν προσηκόντων
φίλων· οὓς ἐν τάξει μελῶν ἔχομεν ἀναγκαίων· οὐδὲν οὕτω
βλαβερόν, ὡς συνουσία πονηρά· ὅσα γὰρ ἀνάγκη οὐ δύναται,
δύναται φιλία, πολλάκις καὶ εἰς βλάβην καὶ εἰς ὠφέλειαν·
διὸ μετὰ πολλῆς σφοδρότητος, τοὺς βλάπτοντας ἡμᾶς ἐκ
κόπτειν κελεύει· ἀπειλήσας οὖν τοῖς σκανδαλίζουσι, πα
ραινεῖ τοῖς σκανδαλιζομένοις, τὸ φυλάττεσθαι· κἂν οἰκειό
τατος ᾖ ὁ σκανδαλίζων· εἰ γὰρ καὶ μελῶν ἐκτομαῖς ἔοικεν ὁ
τούτων χωρισμός· αἱρετώτερον ἂν εἴη τῆς ἀποκειμένης
ἀπειλῆς· τὴν δὲ προφητικὴν ἐπιφέρει ῥῆσιν αὐτὸ καὶ

τρτ ς
ἑωθ:

αὐτόν· ἐλπὶς γὰρ αὐτοὺς διὰ τούτων, καὶ εἰς ἐπίδοσιν ἀρετῆς ἀφικέσθαι· οὐδεὶς γὰρ τῶν ἐπὶ τῷ ὀνόματί μου δυνάμεις ἐπιτελούντων, δυνήσεται ταχὺ κακολογῆσαί με· τὸ δὲ ταχὺ πρόσκειται, διὰ τοὺς εἰς αἱρέσεις ἐκπεσόντας· οἷος ἦν σίμων· καὶ μένανδρος· καὶ κήρινθος· τάχα δὲ, οὐδὲ ἐκεῖνοι ἐν τῷ ὀνόματι αὐτοῦ τὰ σημεῖα ἐποίουν· ἀλλὰ μαγγανείαις τισὶ καὶ ἀπάταις ἐδόκουν ποιεῖν· οὗτοι δὲ εἰ καὶ μὴ ἀκολουθοῦσιν ἡμῖν διὰ τὸ μὴ ἕπεσθαι τῇ ἐπιτάσει τοῦ ἔργου, ἀλλ' ὡς ἐκ καθηκόντων τι ποιεῖν, οὐ δυνήσονται ῥαδίως· διὰ τὸ σεμνύνεσθαι αὐτοὺς ἐπὶ ταῖς δυνάμεσιν ἃς ἐπιτελοῦσι τῷ ἐμῷ ὀνόματι περιεχόμενοι· τὸ δὲ ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν, οὐκ ἔστιν ἐναντίον τῷ ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστι· τοῦτο γὰρ περὶ δαιμόνων εἴρηται· πειρωμένων ἀφέλκειν ἅπαντας ἀπὸ τοῦ θεοῦ σπουδαζόντων· καὶ τὴν συναγωγὴν αὐτοῦ σκορπίζειν· ἐκεῖνο δὲ περὶ τῶν πιστευόντων μὲν εἰς αὐτόν· μὴ ἀκολουθούντων δὲ αὐτῷ· διὰ προαίρεσιν ἐλλιπῆ, ἢ διὰ χαυνότητα τοῦ βίου· τῷ δὲ ὀνόματι αὐτοῦ ἐπιτελούντων δυνάμεις, διὰ τὴν τῶν προσιόντων πίστιν· καὶ δι' αὐτὸ αὐτοὺς ἐναχθῆναι εἰς τελείαν πίστιν· ἀρχὴν γὰρ ἔχοντας τοῦ κηρύγματος, συνεχώρει ὁ θεὸς καὶ τοιούτους γενέσθαι:—

» Ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος· Ἵνα γὰρ μὴ τὴν πενίαν τις προβάληται, κἂν ποτήριόν φησι ψυχροῦ ὕδατος δῷ τις, ἔνθα οὐδὲν ἔστι δαπανῆσαι· καὶ τούτου κείσεται μισθός· οὐ γὰρ τὸ εὐτελὲς τοῦ προσαγομένου· ἀλλ' ἡ ἀξία τῶν λαμβανόντων καὶ ἡ διάθεσις τῶν παρεχόντων, ποιεῖ ἔμμισθον τὸ εὐτελὲς τῶν διδομένων· εἶτα παράδεκτον δὲ ποιῶν μειζόνως τὸν λόγον· οὐκ ἀπὸ τῆς τιμῆς μόνον· ἀλλὰ καὶ ἀπὸ τῆς κολάσεως αὐτὸ συνίστησιν· ὥσπερ γάρ φησιν οἱ τιμῶντες ὑμᾶς διὰ ἐμὲ τὸν μισθὸν ἔχουσιν, οὕτως δὴ καὶ οἱ ἀτιμάζοντες· τοῦτο γάρ ἐστι τὸ σκανδαλίσαι· τὴν ἐπ' αὐτὸν ὁδὸν σου δίκην· μικροὶ δὲ οἱ τῶν πιστευόντων εἰς αὐτόν· καὶ οἱ ἐπικαλούμενοι μὲν τὸ ὄνομα αὐτοῦ· μὴ ἀκολουθοῦντες αὐτῷ· καὶ οἱ ποτήριον ψυχροῦ ὕδατος προσάγοντες· καὶ μηδὲν ἄλλο τι τῶν μειζόνων· τούτων οὖν οὐδεὶς σκανδαλίζειν οὐδὲ ἀποσκυβαλίζειν δύναται· τοῦτο γὰρ τὸ κωλύειν ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ· ἀπὸ τῶν κινδύνων δὲ γνωρίμων τὴν κακουργίαν ὁρίζει· τὸ ἀφόρητον αὐτῆς ἐμφαίνων· ὅταν τὸ κη περὶ τῶν ἐπερωτησάντων φαρισαίων εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα :

κατέχοντες· ἔχουσιν οἱ πλήρεις τῶν συνεχόντων, αὐτοὺς ἐν εὐσεβείᾳ καὶ πᾶσι σκαιρότητι λόγων. ὁ λόγος γὰρ ὑμῶν, ἅλατι ἠρτυμένος ἔστω ἐν χάριτι· ἄξιον δὲ μηνῦσαι φάναι, κατὰ τί οἱ τοῦ Χ(ριστο)ῦ μαθηταὶ ἅλσι παρομοιάζονται. δοκεῖ μοι τοίνυν, ὅτι ὥσπερ οἱ ἅλες τὰ καταμονωμένα συνέχουσι σώματα· πρὸς τὸ μὴ μεταβάλλειν εἰς σκώληκας αὐτὰ ἢ δυσωδίας· καὶ ποιοῦσι χρήσιμα, οὕτως οἱ τοῦ σ(ωτῆ)ρ(ο)ς κ(αὶ) κ(υρίου) ἡμῶν μαθηταί, πάντα τὸν περίγειον κόσμον διατηροῦσι καὶ συνέχουσιν· ἀνθιστάμενοι τῇ ἐξ εἰδωλολατρείας καὶ πορνείας ἁμαρτιῶν δυσωδίᾳ. δοκεῖ οὖν ὁ Ματθαῖος ἅλας γεγραφέναι αὐτοὺς εἶναι τοὺς μαθητὰς τοῦ Ἰ(ησο)ῦ, ἅλας· ὁ δὲ Λουκᾶς, οὐ σαφῶς τοῦτο δηλοῖ. διό περαιτέρω φιλόλογος ἐκλέξεις αὐτοῦ ἐστι. δυνατὸν μὴν κατὰ τὸν Μάρκον νοεῖσθαι· ὅτι ἕκαστος οὐκ ὢν ἅλας, ἐν ἑαυτῷ ὀφείλει τοὺς ἅλας· καὶ τάχα πως τοσοῦτον ἔχει ἁλῶν, ὅσον κεχώρηκε τῶν τοῦ θ(εο)ῦ χαρισμάτων· τοιοῦτος δέ ἐστιν, ὅς τις εὗρε χάριν ἐναντίον κ(υρίο)υ τοῦ θ(εο)ῦ· ὡς Μωϋσῆς καὶ Ἀβραὰμ καὶ Νῶε· καὶ εἴ τις ἄλλος ἀναγέγραπται εὑρηκέναι χάριν ἐναντίον τοῦ θ(εο)ῦ· συνῆκται δὲ ἐντεῦθεν τὸ αὐτὸ τοὺς ἅλας καὶ τὴν χάριν. ὁ Παῦλος εἰπών· ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος· εἰ τοίνυν χάριτος ἀξιωθείς, καὶ μὴ ταύτην τηρήσει, οὕτως ἂν εἴη ἐν ᾧ οἱ ἅλες ἐμωράνθησαν. ἅλας δέ ἐστιν ὁ ἀληθινός, ὁ κ(ύριο)ς ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστό)ς· ὅς τις φθαρεῖσαν πᾶσαν τὴν γῆν, εἰς ἑαυτὸν διήρκεσε διατηρῶν σώζων· καὶ πολλοὺς ἐν οἷς ἐσμεν εἰς τοὺς ἅλας· οἵτινές εἰσι τοσοῦτον ἰσχύουσιν, ὅσον οὐ μωραίνονται· οὐδὲ ἀναλίσκονται· οὐδὲ ἄξιοι τοῦ βληθῆναι ἔξω παραιτοῦσιν· οὐδὲ ὑπὸ τοὺς πόδας τῶν ἐσομένων καταπατεῖν αὐτοὺς ἀνθρώπων γίνονται. καλὸν οὖν καὶ ἐπαινετὸν τὸ ἅλας· ἐὰν δέ ποτε καὶ τοῦτο μωρανθῇ, δηλονότι γὰρ ἐξ ἀπροσεξίας καὶ τοῖς μεγάλοις ἁλσίν ἐστι τὸ μωρανθῆναι μεταβάλλειν· ἐν τίνι ἀρτυθήσεται, ἄξιόν ἐστιν ἀπορῆσαι· μωρανθὲν δὲ καὶ μὴ ἀρτυθέν· οὔτε εἰς γῆν γεωργουμένην εὔθετόν ἐστιν· οὔτε εἰς κοπρίαν, κό[illegible] λουργοῦ· διὸ ἔξω βάλλουσιν αὐτό· οἰκείως δὲ ἐπακολουθεῖ τῷ ἔχειν ἐν ἑαυτῷ τοὺς ἅλας· τὸ εἰρηνεύειν ἐν ἑαυτῷ· ἐπεὶ γὰρ ἐν τούτῳ κ(αὶ) ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη τοῦ θ(εο)ῦ :-

κη

Καὶ προσελθόντες οἱ φαρισαῖοι, ἐπηρώτησαν αὐτὸν εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν· ὁ δὲ ἀπο εβ σαΐου τοῦ προφήτου· σκώληκα δὲ ὀνομάζει τὴν συνείδησιν· δίκην σκώληκος κατεσθίουσαν, τῶν μηδὲν ἀγαθὸν ἑαυτοῖς συνειδότων τὴν ψυχήν, ἐν τῷ μετανοεῖν· ἕκαστος γὰρ ὢν ἑαυτοῦ κατήγορος ἐν τῷ ἐξομολογεῖσθαι εὑρήσεται· ἀναμιμνησκόμενος τῶν κατὰ τὸν θνητὸν βίον πεπραγμένων· καὶ ὑπὸ τῆς συνειδήσεως αὐτοῦ κεντούμενος· καὶ οὕτως αὐτῶν ὁ σκώληξ, ἀτελεύτητος διαμένει· οὐ γὰρ δήπου περὶ αἰσθητοῦ σκώληκος καὶ αὐτὸ γενήσεσθαι ταῦτα εἴρηκεν· ἄσβεστον δὲ καὶ τὸ πῦρ αὐτῶν ὑπάρξει· ὥσπερ γὰρ αἰώνιον εἴρηται πῦρ, οὕτω καὶ ἐνταῦθα ἄσβεστον· τουτέστι τὸ κριτήριον τῆς οἰκείας συνειδήσεως ὃ δίκην σκώληκος ἀτελεύτητον ἐν αὐτοῖς ἐνειλεῖται· καὶ καταφλέξει αὐτοὺς πῦρ τὸ καῖον ἐν αὐτοῖς.

Πᾶς γὰρ πυρὶ ἁλισθήσεται· καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται· καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσεται· ἔχετε ἐν ἑαυτοῖς ἅλας· καὶ εἰρηνεύετε ἐν ἀλλήλοις· καὶ ἐκεῖθεν ἀναστὰς, ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας· διὰ τοῦ πέραν τοῦ Ἰορδάνου· καὶ συμπορεύονται ὄχλοι πάλιν πρὸς αὐτόν· καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς·

Ὅμοιόν ἐστι τῷ ὑπὸ τοῦ ἀποστόλου εἰρημένῳ· ἑκάστου δὲ τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει· εἶτα ἐπάγει αὐτῷ τὴν λευιτικοῦ μαρτυρίαν· τὸ πᾶν δῶρον θυσίας ὑμῶν, ἁλὶ ἁλισθήσεται· ταύτην δὲ κατὰ τὸν πνευματικὸν τηρήσωμεν νόμον τὴν ἐντολήν· καὶ ἐπὶ παντὶ δώρῳ θυσίας ὑμῶν τῆς τε [illegible] καὶ τὴν ἄλλην τὴν πρὸς τὸν πλησίον δόσιν· ὡς χάριν εὑρίσκοντες ἐνώπιον τοῦ θεοῦ· καὶ κατὰ τὸν λόγον τῶν θείων θύοντες γραφῶν· ἁλίζομεν τὰ δῶρα τῆς θυσίας ἡμῶν ἔναντι τοῦ θεοῦ· τὸ ἔργον ἑκάστου ἐνταῦθα μὲν ἁλὶ ἁλισθήσεται· ἐκεῖ δὲ πυρὶ ἁλισθήσεται· εἰ δὲ καὶ ἐνταῦθα τῷ πυρὶ τῷ θείῳ ἁλίζεται ἡ θυσία ἡμῶν, συνήσεις κατὰ τὸ πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· εἶτα [illegible] πυρὶ ἁλισθήσεται· καλὸν δὲ τὸ ἅλας. καλὸν ἄρα τὸ πῦρ· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται· τουτέστιν ἑαυτοῦ ἐστερημένον καὶ τῆς ἰδίας ποιότητος δι' ἣν καλὸν μεῖναι μωραίνεται, ἐν τίνι αὐτὸ ἀρτύσετε· ἡ δὲ περὶ τῶν ἐχόντων ἅλας ἐντολή, τὸ εἰρηνεύειν ἐν ἑαυτοῖς ἐστιν· οἱ μὴ εἰρηνεύοντες ἅλας φέρουσιν ἄναλον· εἰσὶ γὰρ ἄλλοι ἅλας ἔχοντες· καὶ εἰσὶν ἄλλοι ἅλας οὐ πολλὰς ἂν ἔπλασε γυναῖκας· νῦν δὲ καὶ τῷ τρόπῳ τῆς νομοθεσίας, ἔδειξεν, ὅτι ἕνα δεῖ μιᾷ συνοικεῖν διὰ παντός. καὶ μηδέποτε διαρρήγνυσθαι. ἐκ μιᾶς γάρ φησι ῥίζης ἐγένοντο· εἰς ἓν σῶμα συνῆλθον· εἶτα φοβερὸν ποιῶν τὸ ταύτης κατηγορεῖν, οὐκ εἶπε μὴ διασπᾶτε· ἀλλ᾽ ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω:-

Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος:

Οὐχ ἁπλῶς φησὶ συνῆψε τὴν γυναῖκα τῷ ἀνδρί· ἀλλὰ καὶ γονεῖς ἀφιέναι κελεύει· καὶ πρὸς τὴν γυναῖκα κολληθῆναι· τῷ τρόπῳ τῆς λέξεως, τὸ ἀδιάσπαστον ἐμφαίνων. ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν· διδοὺς νοῆσαι τὴν ἀπὸ γαστρὸς τῆς μεσουμένης γυναικός. καὶ τὸ κατὰ φύσιν περιτρέπον μὲν οὖν κεκώλυσε· διὰ τὸ μὴ ἀναγκαῖον εἰς τὸ παρὰ φύσιν ἐκπεσεῖν τοὺς ἀνθρώπους. ψυχῆς μὲν γὰρ ἐκκαθαιρομένης ἐπιθυμιῶν τε καὶ θυμοῦ, δυνατὸν καὶ φαύλην γυναῖκα ὑπομένειν. πολεμουμένης δὲ ἐν ψυχῇ τῶν προειρημένων παθῶν, πολλὰ καὶ δεινὰ γένοιτ᾽ ἂν ἐν τῇ παρ᾽ αὐτῶν μένειν συνοικήσει. παρατήρει δὲ, ὅτι οὐδὲ τὰ ἑξῆς εἴρηται τῆς γενέσεως εἰρημένα· ταῦτα δὲ, οὐδὲ περὶ τῶν αὐτῶν. τὸ μὲν γὰρ ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, ἐπὶ τὸ κατ᾽ εἰκόνα λέγεται· τὸ δὲ ἕτερον, περὶ τῶν ἀπὸ τοῦ χοῦ τῆς καὶ μιᾶς τῆς πλευρᾶς τοῦ Ἀδὰμ γενομένων. καὶ ἐν τῇ κτίσει τῷ τὸ αὐτὴν ἑλκυσθῆναι τὴν γυνὴ καὶ τὰ ἑξῆς ἐν τῇ γενέσει ὑπὸ τοῦ Ἀδὰμ νομιζόμενα λέγεσθαι, ὅσπερ ὑπὸ θεοῦ αὐτός φησιν εἰρῆσθαι, ὡς ὁμοίως νομοθετοῦντος. καὶ ἐπεὶ θεὸς ὁ τοὺς δύο ποιήσας ἕν· οὐχ ὃν ὁ θεὸς συνέζευξε λέγει· ἐνικῶς δὲ· ἐπειδὴ ὁ θεὸς συνέζευξεν ἐκκλησίαν Χριστῷ, οὐ δεῖ χωρίζειν αὐτοῦ:

Ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ:

Ὁ μὲν Ματθαῖος πρὸς τοὺς Φαρισαίους καὶ ταῦτα τὸν σωτῆρά φησιν εἰρηκέναι· ὁ δὲ Μάρκος πρὸς τοὺς μαθητάς· οὐκ ἔστι δὲ ἐναντίον. ἐνδέχεται γὰρ καὶ τούτους κἀκείνους τὰ αὐτὰ εἰρηκέναι· ὥστε παρασιωπεῖν δοκεῖ ἡμᾶς ὁ Μάρκος· καὶ ὑπομιμνήσκειν· ὡς πρὸ τούτου οἱ μαθηταὶ περὶ τούτου ἐπηρώτων τὸν Ἰησοῦν· καὶ ταῦτα εἶπεν αὐτοῖς. μοιχείαν ὅλως ἐκάλεσε τὸ μὴ τῇ ἰδίᾳ συνεῖναι γυναικί· οὐκ ἰδίᾳ δὲ συνεῖναι· ὁ τὴν ἰδίαν ἀπολύσας· διὰ τοῦτο μοιχᾶται ἐπ᾽ αὐτήν· τουτέστιν ἐπὶ τὴν δευτέραν· ἢ ἐπ᾽ αὐτῇ

> κριθεὶς, εἶπεν αὐτοῖς· τί ὑμῖν ἐνετείλατο Μωσῆς· οἱ δὲ εἶπον·
> Μωσῆς ἐπέτρεψε βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι.
> καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· πρὸς τὴν σκληροκαρδίαν ὑ-
> μῶν ἐπέτρεψεν ὑμῖν τὴν ἐντολὴν ταύτην· ἀπὸ δὲ ἀρχῆς
> κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός· ἕνεκεν τούτου
> καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ· καὶ προσ-
> κολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς
> σάρκα μίαν· ὥστε οὐκέτι εἰσὶ δύο· ἀλλὰ σὰρξ μία· ὃ οὖν ὁ Θεὸς
> συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ ἐν τῇ οἰκίᾳ πάλιν οἱ μα-
> θηταὶ αὐτοῦ περὶ τούτου ἐπηρώτησαν αὐτόν, καὶ λέγει αὐτοῖς·
> ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶ-
> ται ἐπ᾽ αὐτήν· καὶ ἐὰν γυνὴ ἀπολύσῃ τὸν ἴδιον ἄνδρα, αὐτῆς· καὶ
> γαμηθῇ ἄλλῳ, μοιχᾶται:—

Ἐρωτηθεὶς ἐξ ἀρχῆς, οὐκ εὐθέως εἶπεν οὐκ ἔξεστιν· ἵνα μὴ θορυβηθῶσιν· ἀλλὰ διὰ τῆς ἐρωτήσεως πρὸς αὐτοὺς ἠβουλήθη ἀποκριναμένους αὐτοὺς τοῦ νόμου τὸ βούλημα· ἵν᾽ ὅπερ αὐτὸν ἔδει πρὸς αὐτοὺς λέγειν, τοῦτο φθάσαντες ἀποκριθῶσι· προβάλλονται τοίνυν τὸν Μωσέα τοῦτο εἰρηκέναι· ἴσως μὲν, καὶ διὰ τὴν τοῦ σωτῆρος ἐρώτησιν ἵνα δείξωσιν ἐναντιούμενον τῷ νόμῳ· ἴσως δὲ καὶ τὸ πλῆθος βουλόμενοι ἐπιστρατεῦσαι αὐτῷ, τῶν ἀνδρῶν· καὶ γὰρ ἀδιάφορον τοῦτο τοῖς Ἰουδαίοις ἦν· καὶ πάντες τοῦτο ἔπραττον, ὡς ὑπὸ νόμου συγκεχωρημένον· τί οὖν φησιν ὁ κύριος· πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην, Μωσῆς· καὶ οὐ καθίησιν αὐτὸν ὑπὸ κατηγορίαν ἐλθεῖν· ἐπειδὴ καὶ τὸν νόμον αὐτὸς ἦν αὐτῷ δεδωκώς· ἀλλ᾽ ἐξαιρεῖται αὐτὸν τοῦ ἐγκλήματος· καὶ τὸ πᾶν εἰς τὴν ἐκείνων περιτρέπει κεφαλήν· εἶτα ἐπειδὴ φορτικὸν ἦν τὸ εἰρημένον, ταχέως ἐπὶ τὸν ἀρχαῖον καταφεύγει νόμον, λέγων· ἀπὸ δὲ ἀρχῆς κτίσεως, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς, ὁ Θεός· τουτέστι διὰ τῶν πραγμάτων ἡμῖν ἐξ ἀρχῆς ἐνομοθέτησεν ὁ Θεὸς τοὐναντίον· εἰ γὰρ οὗτος προηγούμενος ὁ νόμος ἦν καὶ συμφέρων, οὐκ ἂν ἐκεῖνος ἐξ ἀρχῆς ἐδόθη· οὐκ ἂν οὕτω πλάττων ἔπλασεν ὁ Θεός· καὶ οὐκ ἂν ποιήσας ταῦτα εἶπεν· οὐκ εἶπε δὲ ὅτι ἐποίησεν ἄνδρα καὶ γυναῖκας· ἀλλ᾽ ὅτι καὶ τοῦτο ἐκέλευσεν· ὥστε τὸν ἕνα τῇ μιᾷ προσκολλᾶσθαι· εἰ δὲ ἠβούλετο ταύτην ἀφιέναι· ἑτέραν δὲ ἐπεισάγειν· ἕνα ἄνδρα ποιήσας,

> πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ· ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· εἰ θέλεις τέλειος εἶναι, ἕν σοι ὑστερεῖ· ὕπαγε ὅσα ἔχεις, πώλησον καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν σου· ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά· καὶ περιβλεψάμενος ὁ Ἰησοῦς, λέγει τοῖς μαθηταῖς αὐτοῦ· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσονται· οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ· ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς εἶπεν αὐτοῖς· τεκνία· πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν· εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν· οἱ δὲ περισσῶς ἐξεπλήσσοντο λέγοντες πρὸς ἑαυτούς· καὶ τίς δύναται σωθῆναι· ἐμβλέψας δὲ ὁ Ἰησοῦς λέγει· παρὰ ἀνθρώποις ἀδύνατον· ἀλλ᾽ οὐ παρὰ τῷ θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ :—

Τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ἐπίβουλόν τινα καὶ πονηρόν· καὶ μετὰ πείρας τῷ Ἰησοῦ προσελθόντα· ἐγὼ δὲ φιλάργυρον μὲν αὐτὸν [illegible] καλῶ· ἐπειδὴ καὶ ὁ Χριστὸς τοιοῦτον αὐτὸν ὄντα ἤλεγξεν· ἐπίβουλον δὲ οὐδαμῶς· διὰ τὸ εἰπεῖν τὸν εὐαγγελιστὴν· ὅτι ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς ἠγάπησεν αὐτόν· εἰ δὲ πειράζων προσῆλθεν, ἐδήλωσε καὶ τοῦτο ἡμῖν ὁ εὐαγγελιστής· ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖ· εἰ δὲ καὶ αὐτὸς ἐσίγησεν, ὁ Χριστὸς αὐτὸν οὐκ εἴασε λαθεῖν· ἤλεγξε γὰρ ἂν σαφῶς καὶ ἠνίξατο· καὶ οὐκ ἂν ἀπῆλθε λυπούμενος ἐφ᾽ οἷς ἤκουσε :—

» Τί με λέγεις ἀγαθόν :

Καὶ τοῦτο οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ Χριστὸς λέγων· οὐδεὶς ἀγαθός· ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε· καὶ ἑνὶ τῶν ἰουδαϊκῶν διδασκάλων, ὡς ἄνθρωπος αὐτῷ διαλέγεται· καὶ γὰρ πολλαχοῦ πρὸς τὰς ὑπονοίας τῶν ἀνθρώπων τῶν προσιόντων αὐτῷ ἀποκρίνεται· ὅταν οὖν εἴπῃ οὐδεὶς ἀγαθός, τουτέστιν οὐδεὶς ἀνθρώπων· ἀλλ᾽ οὐδὲ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος λέγει· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς τοῦ θεοῦ ἀγαθότητος. διὸ καὶ ἐπήγαγεν εἰ μὴ εἷς ὁ θεός.

συνάγει τῇ κατὰ φύσιν μιᾷ τῶν σωμάτων συναφείᾳ· τὸ δὲ αὐτὸ καὶ ἡ γυνὴ ἐκδιωχθεῖσα συνοῦσα ἑτέρῳ ἀνδρί, ὅταν τὸν ἴδιον καταλίπῃ. καὶ ὁ μὲν νόμος, τὴν προφανῆ μοιχείαν ἀπεκώλυσεν· ὅτε τὴν συνοικοῦσαν ἑτέρῳ τις διαφθείρειεν· ὁ δὲ σωτὴρ καὶ τὴν οὐχ ὁμολογουμένην παρὰ πᾶσιν. οὐδὲ τιμωρουμένην· τῇ φύσει δὲ διελεγχομένην:—

Καὶ προσέφερον αὐτῷ παιδία ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν· ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν· καὶ ἐναγκαλισάμενος αὐτά· τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, εὐλόγησεν αὐτά:—

Τοὺς μὲν προσφέροντας τὰ παιδία, διεκώλυον οἱ μαθηταί, ὡς ἀξιώματος ἐμμέλειαν· ὁ δὲ σωτὴρ διδάσκων αὐτοὺς μετριάζειν καὶ τῦφον καταπατεῖν τὸν κοσμικόν, ἐναγκαλίζεται· καὶ τούτοις τὴν βασιλείαν ἐπαγγέλλεται. καὶ γὰρ πάντων τῶν παθῶν καθαρεύει ἡ ψυχὴ τοῦ παιδίου· διὰ τοῦτο οὖν φησί· τῶν γὰρ τοιούτων ἐστίν· ἵνα ταῦτα τῇ προαιρέσει ἐργαζώμεθα, ἃ τῇ φύσει τὰ παιδία ἔχει. καλὸν δὲ καὶ τὸ ἐναγκαλίσασθαι αὐτὰ καὶ εὐλογεῖν· πάλιν γὰρ ὡς ἐπ᾽ ἀγκάλας ἐπαναπαύεται τοῦ θεοῦ μονογενοῦς, τὸ ποίημα· χορηγεῖ αὐτῷ ἀπ᾽ αὐτοῦ κατ᾽ ἀρχὰς καὶ ἐκ πατρικοῦ. ἐπετίθει δὲ τὰς χεῖρας τοῖς παιδίοις, τῆς ἐπιθέσεως τῶν χειρῶν διδάσκαλος· τὴν τῆς θείας δυνάμεως ἐπίθεσιν. ὑπὸ ἔργον τὸ ἐπ᾽ αὐτῆς ἐπιτελεῖσθαι· τὸ δὲ σχῆμα κοινὸν καὶ κατὰ τὴν συνήθειαν τῆς τῶν χειρῶν ἐπιθέσεως. ποιεῖ ὁ Χριστός· οὐ μὴν κατὰ τὴν συνήθειαν ἐνήργει· ὅτι δὴ θεὸς ὤν, καὶ τὸν ἀνθρώπινον τρόπον διεφύλαττεν ὡς ἄνθρωπος γενόμενος:—

Τῇ Τ´ Σ ΙΕ

Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν, προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτόν, ἐπηρώτα αὐτόν· διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός. τὰς ἐντολὰς οἶδας· μὴ μοιχεύσῃς· μὴ φονεύσῃς· μὴ κλέψῃς· μὴ ψευδομαρτυρήσῃς· μὴ ἀποστερήσῃς· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· διδάσκαλε ταῦτα

κεφ´ λ

περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰν:

›› πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ· ὁ δὲ
›› ι̅ς̅ ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· εἰ θέ-
›› λεις τέλειος εἶναι, ἕν σοι ὑστερεῖ· ὕπαγε ὅσα ἔχεις, πώλησον
›› καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς· καὶ δεῦρο ἀ-
›› κολούθει μοι, ἄρας τὸν σταυρόν σου· ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ, ἀ-
›› πῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά· καὶ
›› περιβλεψάμενος ὁ ι̅ς̅ λέγει τοῖς μαθηταῖς αὐτοῦ· πῶς δυσ-
›› κόλως οἱ τὰ χρήματα ἔχοντες, εἰς τὴν βασιλείαν τοῦ θ̅υ̅ εἰ-
›› σελεύσονται· οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτ(οῦ)·
›› ὁ δὲ ι̅ς̅ πάλιν ἀποκριθεὶς εἶπεν αὐτοῖς· τεκνία· πῶς
›› δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασι-
›› λείαν τοῦ θ̅υ̅ εἰσελθεῖν· εὐκοπώτερόν ἐστι κάμηλον διὰ τῆς
›› τρυμαλιᾶς τῆς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασι-
›› λείαν τοῦ θ̅υ̅ εἰσελθεῖν· οἱ δὲ περισσῶς ἐξεπλήσσοντο λέγοντες·
›› πρὸς ἑαυτούς· καὶ τίς δύναται σωθῆναι· ἐμβλέψας δὲ ὁ
›› ι̅ς̅ λέγει· παρὰ ἀνθρώποις ἀδύνατον· ἀλλ' οὐ παρὰ τῷ θ̅ω̅· πάν-
›› τα γὰρ δυνατά ἐστι παρὰ τῷ θ̅ω̅:—

Τινὲς διαβάλλουσι τὸν νεανίσκον τοῦτον, ὡς ὕπουλόν τινα καὶ
πονηρόν· καὶ μετὰ πείρας τῷ ι̅υ̅ προσελθόντα· ἐγὼ δὲ φι-
λάργυρον μὲν αὐτὸν ἐγκαλῶ· ἐπειδὴ καὶ ὁ χ̅ς̅ τοιοῦτον αὐτὸν ὄντα
ἤλεγξεν· ὑποκριτὴν δὲ οὐ δύναμαι· διὰ τὸ εἰπεῖν τὸν εὐαγγελιστήν·
ὅτι ἐμβλέψας αὐτῷ ὁ ι̅ς̅ ἠγάπησεν αὐτόν· εἰ δὲ πειράζων προσ-
ῆλθεν, ἐδήλωσε καὶ τοῦτο ἡμῖν ὁ εὐαγγελιστής· ὥσπερ καὶ
ἐπὶ τῶν ἄλλων ποιεῖ· εἰ δὲ καὶ αὐτὸς ἐσίγησεν, ὁ χ̅ς̅ αὐτὸν οὐ-
κ εἴασε λαθεῖν· ἤλεγξεν ἂν σαφῶς, ἢ ᾐνίξατο· καὶ οὐκ ἂν
ἀπῆλθε λυπούμενος ἐφ' οἷς ἤκουσε:—

›› Τί με λέγεις ἀγαθόν:—

Διὰ τοῦτο οὕτω πρὸς αὐτὸν ἀπεκρίνατο ὁ χ̅ς̅, λέγων· οὐδεὶς ἀγα-
θός· ἐπειδὴ ὡς ἀνθρώπῳ προσῆλθε· καὶ ἑνὶ τῶν ἰουδαϊκῶν διδα-
σκάλων· ὡς ἀνθρώπῳ αὐτῷ διαλέγεται· καὶ γὰρ πολλαχοῦ πρὸς
τὰς ὑπονοίας τῶν ἀνθρώπων τῶν προσιόντων αὐτῷ ἀποκρίνεται·
ὅταν οὖν εἴπῃ οὐδεὶς ἀγαθός, τουτέστιν οὐδεὶς ἀνθρώπων· ἀλλ' οὐ
δὲ τοὺς ἀνθρώπους ἀποστερῶν ἀγαθότητος λέγει· ἀλλὰ πρὸς ἀντιδια-
στολὴν τῆς τοῦ θ̅υ̅ ἀγαθότητος· διὸ καὶ ἐπήγαγεν· εἰ μὴ εἷς ὁ θ̅ς̅·

σώζει τῇ κατὰ φύσιν αὐτῶν συναφείᾳ· τὸ δὲ αὐτὸ καὶ ἡ γυνὴ ὑπεύθυνος ἐστὶν ἀνδρί. ἐὰν τὸν ἴδιον καταλίπῃ. καὶ ὁ μὲν νόμος, τὴν προφανῆ μοιχείαν ἀποβάλλειν λύσιν· ὅ τε τὴν συνοικοῦσαν ἐπερωτήσεις διαφθείρῃ· ὁ δὲ σωτὴρ. καὶ τὴν οὐχ ὁμολογουμένην παρὰ ταύτην. οὐδὲ τὴν συνοικουμένην· τῇ φύσει δὲ διελεγχομένην:—

Καὶ προσέφερον αὐτῷ παιδία ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν· ἰδὼν δὲ ὁ Ἰ(ησοῦ)ς· ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με· μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θ(εο)ῦ· ἀμὴν λέγω ὑμῖν· ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θ(εο)ῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ ἐν αὐτῇ· καὶ ἐναγκαλισάμενος αὐτά· τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά, εὐλόγησεν αὐτά:—

Οἱ μὲν προσέφερον τὰ παιδία, διεκώλυον οἱ μαθηταὶ ἀξιώματος ἐπιμελείᾳ· ὁ δὲ σωτὴρ διδάσκων αὐτοὺς μετριάζειν καὶ τῦφον καταπατεῖν τὸν κοσμικὸν, ἐναγκαλίζεται· καὶ τούτοις τὴν βασιλείαν ἐπαγγέλλεται· καὶ γὰρ πάντων τῶν παθῶν καθαρεύει ἡ ψυχὴ τοῦ παιδίου· διὰ τοῦτό φησι· τῶν γὰρ τοιούτων ἐστὶν· ἵνα ταῦτα τῇ προαιρέσει ἐργαζώμεθα ἃ τῇ φύσει τὰ παιδία ἔχει· καλὸν δὲ καὶ τὸ ἐναγκαλισάμενος αὐτὰ κατευλόγει· πάλιν γὰρ ὥσπερ εἰς ἀγκάλας ἐπανάγεται τοῦ δημιουργοῦ, τὸ ποίημα· χωρισθὲν ἀπ᾽ αὐτοῦ κατ᾽ ἀρχὰς καὶ ἐκπεπτωκός· ἐπιτίθει δὲ τὰς χεῖρας τοῖς παιδίοις· τῆς ἐπιθέσεως τῶν χειρῶν διδασκούσης· τὴν τῆς θείας δυνάμεως ἐπίθεσιν. ἢ τὸ ἔργον τὸ ἐπ᾽ αὐτῆς ἐπιτελεῖσθαι· τὸ δὲ σχῆμα κοινὸν καὶ κατὰ τὴν συνήθειαν τῆς τῶν χειρῶν ἐπιθέσεως· ποιεῖ ὁ Χ(ριστὸ)ς· οὐ μὴν κατὰ τὴν συνήθειαν ἐνήργει· ὅτι δὴ θ(εὸ)ς ὤν, καὶ τὸν ἀνθρώπινον τρόπον διεφύλαττεν ὡς ἄν(θρωπ)ος γενόμενος:·

Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν· προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτόν, ἐπηρώτα αὐτόν· διδάσκαλε ἀγαθέ· τί ποιήσω· ἵνα ζωὴν αἰώνιον κληρονομήσω· ὁ δὲ Ἰ(ησοῦ)ς εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν· οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θ(εό)ς· τὰς ἐντολὰς οἶδας· μὴ μοιχεύσῃς· μὴ φονεύσῃς· μὴ κλέψῃς· μὴ ψευδομαρτυρήσῃς· μὴ ἀποστερήσῃς· τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· διδάσκαλε ταῦτα

κθ̅ περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰ(ησοῦ)ν:

δύναται τῇ τῶν μονίμων τηρήσει, ἐκ ταύτης:-

Πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν:·

Οὐ τὰ χρήματα διαβάλλων τοῦτό φησιν· ἀλλὰ τοὺς πέρα τοῦ μέτρου κατεχομένους ὑπ᾽ αὐτῶν. τί δήποτε δὲ τοῖς μαθηταῖς ἔλεγε δυσκόλως πλούσιος εἰσελεύσεται; τοῖς μηδὲν οὖσι καὶ μηδὲν κεκτημένοις· παιδεύων αὐτοὺς μὴ αἰσχύνεσθαι τῇ πενίᾳ· καὶ ὥσπερ εἰ ἀπολογούμενος αὐτοῖς ὑπὲρ τοῦ μηδὲν ἐπιτρέψαι ἔχειν· εἰπὼν δὲ δύσκολον, προϊὼν δείκνυσιν ὅτι καὶ ἀδύνατον· οὐχ ἁπλῶς· ἀλλὰ καὶ μετ᾽ ἐπιτάσεως ἀδύνατον· καὶ τοῦτο ἐκ τοῦ παραδείγματος ἐδήλωσε τοῦ κατὰ τὴν κάμηλον· καὶ τὴν βελόνην· ὅθεν δείκνυται· ὅτι οὐχ ὁ τυχὼν μισθὸς τοῖς πλουτοῦσι καὶ δυναμένοις φιλοσοφεῖν· διὸ καὶ θεοῦ ἔργον αὐτὸ ἔφησεν εἶναι· ἵνα δείξῃ ὅτι πολλῆς δεῖ τῆς χάριτος τῷ μέλλοντι τοῦτο κατορθοῦν· πῶς δὲ δυνατὸν τοῦτο γίνεται· καὶ πῶς τὸ ἐκ τοῦ παραδείγματος ἀδύνατον λύεται· παρ᾽ αὐτοῦ τοῦ σωτῆρος ἔστι μαθεῖν· λέγοντος τοῖς πλουσίοις· ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ἵνα ὅταν ἐκλίπητε· δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς:·

Πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ θεῷ:·

Πάντα δυνατὰ λέγων ὁ λόγος παρὰ τῷ θεῷ· οὐχὶ καὶ τὰ κακὰ λέγει· οὐ γὰρ ἐν τοῖς πᾶσι τοῖς θεῷ δυνατοῖς, ἀριθμεῖται τὰ κακά· ὅπου γὰρ ὁ θεὸς εἴρηται, τὸ καλὸν ἕπεται· καὶ οὐδὲν ἐν μὴ ἐστὶν ὡσαύτως δύναται· ὅτι τὰ κακὰ τῷ θεῷ ἀδύνατα· οὐδὲ ἡ δύναμις εἰ ποιεῖ ἂν τὸ κακὰ ποιεῖν· ἀσθένεια γὰρ τοῦ ἐναντίου ἡ τοῦ κακοῦ ποίησις· τίνος δὲ ἕνεκεν οἱ μαθηταὶ ταράττονται πένητες ὄντες· ἢ δῆλον ὅτι ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας ἀλγοῦντες. ὅταν δὲ λέγῃ ὃς ἀφῆκε γυναῖκα, οὐ τοῦτό φησιν ὥστε διασπᾶσθαι τοὺς γάμους· ὥσπερ ὅταν λέγῃ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· οὐχ ἵνα ἑαυτοὺς ἀνέλωμεν φησίν· ἀλλ᾽ ἵνα ἐντεῦθεν αὐτὴν χωρίζωμεν ἀπὸ τοῦ σώματος· ἀλλ᾽ ἵνα πάντων προτιμῶμεν τὴν εὐσέβειαν· τοῦτο καὶ ἐπὶ γυναικὸς καὶ τῶν ἄλλων φησί· δοκεῖ δέ μοι καὶ τοὺς διωγμοὺς ἐνταῦθα αἰνίττεσθαι· ἐπειδὴ γὰρ καὶ πολλοὶ ἦσαν πατέρες εἰς ἀσέβειαν ἕλκοντες παῖδας· καὶ γυναῖκες ἄνδρας· ἔτι δὲ μὲν ὧν ἡ τῶν πολυπλασιόνων ἀπόλαυσις· κατὰ τὴν κοινωνίαν· οὐ κατὰ

Καὶ οὐκ ἔστιν ἀγαθὸν εἰ μὴ ὁ πατήρ μου· ἵνα μάθῃς ὅτι οὐκ ἐξεκάλυψεν ἑαυτὸν τῷ νεανίσκῳ· τί δή ποτε δὲ οὕτως αὐτῷ ἀποκρίνεται, ἀνάγειν αὐτὸν κατὰ μικρὸν βουλόμενος καὶ παιδεύων κολακείας ἀπάσης ἀπαλλάττεσθαι· καὶ θεῷ προσκολλᾶσθαι· ἢ τοῦτό φησιν οὕτως· διδάσκων ὅτι αὐτὸς μὲν δίκαιος, ἐξουσίαν λαβὼν κρίσιν κρίνειν· καὶ κρίνειν τὸν λαὸν ἐν δικαιοσύνῃ· ὁ δὲ πατήρ· καὶ τοὺς ἐν τῇ δικαιοσύνῃ τοῦ υἱοῦ τοῦ θεοῦ παιδευθέντας μετὰ τὴν βασιλείαν τοῦ Χριστοῦ εὐεργετῶν· τὴν μὲν ἀγαθὴν προσηγορίαν ἔργοις δείξει· γνώριμος μὲν καὶ τοῖς πᾶσιν ὢν πᾶσι· καὶ τάχα καὶ τὴν αὐτοῦ δικαιοσύνην ὁ [illegible] πάντα λόγῳ καὶ παίζει καὶ κολάζεσι· πνευματικοῖς κεκλημένοις πρὸς τὸ χωρῆσαι μὲν ἐπιτελῆ, τὴν ἀγαθότητα τοῦ πατρός· ὁ μὲν νεανίσκος [illegible] ὁ δόξοι, ἕτερον μὲν εἶναι τὸν δίκαιον θεὸν τοῦ ἀγαθοῦ· καλῶς δὲ οὐχὶ ζωῆς ἐμνημόνευσεν· ἀλλὰ θησαυρὸν λέγων· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς· ἐπειδὴ γὰρ περὶ χρημάτων ἦν ὁ λόγος· καὶ πάντων αὐτὸν γυμνωθῆναι παραινεῖ, δεικνὺς ὅτι οὐ καθαιρεῖται τῶν ὄντων· ἀλλὰ καὶ προστίθησι τοῖς οὖσι πλείονα ὧν ἐκέλευσε παρασχεῖν· καὶ τοσούτῳ μείζονα ὅσον γῆς ὁ οὐρανός· προστίθησι δὲ καὶ τὴν αἰτίαν τῆς λύπης ὁ εὐαγγελιστής· εἰπὼν ἦν γὰρ ἔχων κτήματα πολλά· οὐ γὰρ ὁμοίως κατέχονται οἱ τὰ ὀλίγα ἔχοντες καὶ οἱ τὰ πολλά· ἡ γὰρ προσθήκη τῶν ἐπεισιόντων, μείζονα ἀνάπτει τὴν φλόγα· ἄξιον δὲ ἐπιζητῆσαι πῶς ὁ κύριος ἠγάπησεν αὐτόν· καὶ μέλλοντι ἐπὶ τὴν ζωὴν ἀκολουθεῖν· ἔστι δὲ τοῦτο εἰπεῖν, ὅτι ἐπεὶ μὲν τοῖς προτέροις ἄξιος ἦν ἀγάπης· τὸ τὸν νόμον φυλάξαι καὶ ταῦτα ἐκ νεότητος· τῇ δὲ ὕβρει τὸ τέλειον ὀλιγωρίᾳ, τὴν ἐπὶ τοῖς ἐπανορθώσεσιν ἀγάπην τελείαν οὐκ εἴασε γενέσθαι. ὥσπερ οὖν δὲ τὴν τελειότητα ἐδέξατο· τὸ γὰρ μὴ ἀκολουθῆσαι πρὸς τὸ τέλειον τῆς ἀγάπης ἀφείλετο τὸν μὴ ἀκολουθήσαντα. οὕτως [illegible] ὅσον αὐτῷ μεμαρτύρηκεν ἀγαπήσας αὐτόν· ἡ γὰρ ἀγάπη [illegible] τῶν ἀμφοτέρων μαρτυρεῖ· οὐδὲ μὴν ἐμοῦ μαρτυρία· ἀλλὰ τὸ δυνατὸν ἅμα τῷ ὕβρει τὸ φυλάξασθαι τὸν νόμον, ἐκεῖνός τε μεμαρτύρηκεν ἑαυτῷ· καὶ Χριστὸς ἐπὶ τῇ δυνατῇ

εὐαγγελίου καὶ τῆς βασιλείας· τό τε εὐαγγέλιον. ὡς ὁ μὲν κήρυξις τοῦ Χριστοῦ. καὶ ἡ βασιλεία τοῦ Θεοῦ, διὰ τοῦ ὀνόματος αὐτοῦ γνωρίζεται καὶ παραφημίζεται. προστέθεικε δὲ ὁ Μάρκος, καὶ μετὰ διωγμῶν καὶ τὸ μὲν ἔχειν τὰ πολλαπλασίονα μνῶν· καθὸ διὰ τὴν εὐσέβειαν πολλοὺς εὑρήσει γνησιωτέρους αὐτῶν πολλάκις τὴν διάθεσιν ἀναμένοντας:—

Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι:·

Δείκνυσι δὲ ὅτι τῶν προσαπομεῖναι δοκούντων μὲν ἔσονται πρῶτοι πολλοὶ οἱ δι' ἑαυτὸν γνησιώσαντες καὶ τὰ αὐτῶν μὴ φροντίσαντες ὡς ἀφέντες αὐτά, ἐσώθησαν. πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι· καὶ ἔσχατοι πρῶτοι. ἐν τούτῳ δέ μοι δοκεῖ, τοὺς Φαρισαίους αἰνίττεσθαι:—

κε

Καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν· ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα. καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ τοῖς γραμματεῦσι· καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι· καὶ ἐμπαίξουσιν αὐτῷ. καὶ μαστιγώσουσιν αὐτόν· καὶ ἐμπτύσουσιν αὐτῷ· καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται:—

Προλέγει τοῖς μαθηταῖς ἅπαξ καὶ δὶς ταῦτα, ἵνα γνῶσι καὶ ἐν ὥρᾳ ὅτι προειδὼς καὶ οὐκ ἄκων προσῆλθε καὶ οὐκ ἄκων· ἀλλ' ἑκὼν ἔδωκε τοῦτο καὶ ὑπέστη. διὸ καὶ πολλάκις τὸ τοιοῦτον προηγόρευσε· καὶ κατ' ἰδίαν αὐτοῖς λαμβάνεται τὰ τοιαῦτα προαναχωρεῖ· οἰκειότεροι ἐγένοντο· οὗτοι γὰρ καὶ τῆς προαγορεύσεως ἄξιοι· καὶ τοῦ μὴ θορυβηθῆναι τοῖς παθήμασιν· ὅθεν καὶ χωρὶς αὐτοῖς διαλέγεται· πολλῶν καὶ ἄλλων συνοδοιπορούντων· καὶ λέγει σαφῶς τὰ ἐσόμενα· καὶ τοῦ ἐμπαιχθῆναι αὐτὸν ἐμνημόνευσεν· ἵνα μὴ εἴη παρουσίας τὸ συμβαῖνον· ὅταν αὐτὸ μὴ προεγνῶσθαι. ταράξει τοὺς ἐξαίφνης ὁρῶντας· ἅμα καὶ ὡς δὲ προσανθημένου ὑπομνήσεως ἐν ὅλου καιρῷ, τὸ πληρωθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου· μάλιστα γὰρ εἰς παραμυθίαν, τὸ διὰ τῶν προφητῶν προειρῆσθαι τὸν σταυρὸν τὰ τοιαῦτα μέλλοντα πάσχειν· ἵν' ὅταν τὰ σκυθρωπὰ ταῦτα ἐλθεῖν ἰδῶσι, καὶ τὴν ἀνάστασιν προσδοκήσωσιν. ὁ γὰρ τὰ λυπηρὰ οὐκ ἀποκρυψάμενος· καὶ τὰ δοκοῦντα εἶναι ἐπονείδιστα, εἰκότως ἐ-

τὴν κτίσιν· ἡ γὰρ αὐτὴ γαστὴρ ποιοῦσα ἐπλήρωσεν οἰκειότητα τοῖς
ἰδίοις· καὶ ποιοῦσαν χρείαν ὅσην ἂν οἰκεῖοι καὶ αὐτοὶ παρέ-
χοιεν· προστέθεικε δὲ ὅλου καὶ καὶ ὑπὲρ γυναικός:-

[illegible] Ἤρξατο δὲ ὁ Πέτρος λέγειν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάν-
τα καὶ ἠκολουθήσαμέν σοι· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἀ-
» μὴν λέγω ὑμῖν· οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν· ἢ ἀδελφοὺς·
» ἢ ἀδελφὰς· ἢ πατέρα, ἢ μητέρα· ἢ γυναῖκα· ἢ τέκνα· ἢ ἀγρούς· ἕνεκεν
» ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου. ἐὰν μὴ λάβῃ ἑκατονταπλα-
» σίονα νῦν ἐν τῷ καιρῷ τούτῳ· οἰκίας. καὶ ἀδελφοὺς· καὶ ἀ-
» δελφὰς καὶ μητέρα· καὶ πατέρα καὶ τέκνα· καὶ ἀγρούς. μετὰ διω-
» κμῶν· καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ, ζωὴν αἰώνιον· πολλοὶ
» δὲ ἔσονται πρῶτοι ἔσχατοι· καὶ ἔσχατοι πρῶτοι· ἦσαν δὲ ἐν τῇ
» ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσόλυμα· καὶ ἦν προάγων αὐτοὺς
» ὁ Ἰησοῦς· καὶ ἐξεθαμβοῦντο· καὶ ἀκολουθοῦντες ἐφοβοῦντο:-

Τίμιος ἐν πᾶσιν ὁ γάμος καὶ παραιτοῦνται ποθοῦντες ὄντες· καὶ δῆλον ὅτι
ὑπὲρ τῆς τῶν μειζόνων ἀγωνιῶντες· ὅταν δὲ λέγῃ ὃς ἀφῆκε
γυναῖκα. οὐ τοῦτό φησιν ὥστε διασπᾶσθαι τοὺς γάμους· ὥσπερ
ὅταν λέγῃ· ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ. εὑρήσει
αὐτήν· οὐχ ἵνα ἑαυτοὺς ἀναιρῶμεν φησίν· οὐδὲ ἵνα ἐν τῷ θεῷ
αὐτὴν χωρίζωμεν αὐτοῦ τοῦ σώματος· ἀλλ' ἵνα πάντων προτιμῶμεν
τὴν εὐσέβειαν· τοῦτο καὶ ἐπὶ γυναικὸς καὶ τῶν ἄλλων
φησί· δοκεῖ δέ μοι καὶ τοὺς διωγμοὺς ἐνταῦθα αἰνίττεσθαι· ἐπει-
δὴ ἔσαν καὶ πολλοὶ ἦσαν πατέρες εἰς ἀσέβειαν ἕλκοντες παῖδας·
καὶ γυναῖκες ἄνδρας. ἐπεὶ δὲ μυρίοι τῶν πολλαπλασίονα ἀπο-
λαύουσι κατὰ τὴν κοινωνίαν οὐκοῦν τὴν κτίσιν· ἡ γὰρ αὐταί-
τησις· ποιοῦσα ἐπλήρωσεν οἰκειότητα τοῖς ἰδίοις· καὶ ποιοῦσαν
χρείαν· ὅσην ἂν οἰκεῖοι καὶ αὐτοὶ παρέχοιεν· προστέθεικε
δὲ ὅλου καὶ καὶ ὑπὲρ γυναικός· ὥσπερ γὰρ ἀδελφοὺς διδάσκει
τοὺς οὐκ ἀδελφοὺς. καὶ γονεῖς τοὺς οὐ γονεῖς· καὶ τέκνα τοὺς
τέκνα, οὕτω καὶ γυναῖκα τὴν οὐ γυναῖκα· ἕτερον πρόσωπον δηλῶν ἢ
πνευματικόν· ἀπολήψειν γὰρ τὰ κατὰ σάρκα ἐστίν· ἀντεκδέχεται
δι' αὐτὴν πνευματικὴν ζωήν· οὐ διαφέρει δὲ τὸ λέγειν ἕνεκεν τοῦ ἐμοῦ ὀ-
νόματος· ἢ ἕνεκεν τοῦ εὐαγγελίου ὡς ὁ Μάρκος. καὶ τῆς βασιλεί-
ας τοῦ θεοῦ, ὡς ὁ Λουκᾶς· τό τε γὰρ ὄνομα τοῦ Χριστοῦ· δύναμίς ἐστι τοῦ

αὐτὸ κεκρίνασθαι. καὶ οὕτω διδάξει. οἱ δὲ αἰσχυνόμενοι ἐπειδὴ ἀπὸ πάθους ἀνθρωπίνου πρὸς τοῦτο ἤεσαν· καὶ ἰδίᾳ ἐκ τῶν μαθητῶν λαβόντες αὐτὸν, ἠρώτησαν· τί οὖν ὁ σωτήρ· δηλῶν ὅτι οὐδὲν πνευματικὸν ᾔτουν· οὐ γὰρ ἂν ἐτόλμησαν τοσοῦτον αἰτῆσαι φησίν· οὐκ οἴδατε τί αἰτεῖσθε· ὑμεῖς μὲν γὰρ περὶ τιμῆς ἀξιοῦντες; ἐγὼ δὲ περὶ ἀγώνων ὑμῖν καὶ ἱδρώτων διαλέγομαι. οὐ γάρ ἐστιν οὗτος ὁ τῶν ἐπάθλων καιρός· ἀλλὰ σφαγῆς καὶ πολέμου· καὶ κινδύνων· εἰπὼν δὲ δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω. τῷ τρόπῳ τῆς ἐρωτήσεως ἐφέλκεται αὐτούς· ἵνα τῇ πρὸς αὐτὸν κοινωνίᾳ, προθυμότεροι γένωνται· καλεῖ δὲ τὸ αὐτὸ καὶ βάπτισμα· δεικνὺς μέγαν ἀπὸ τούτου γινόμενον τὸν αὐτοῖς καθαρμὸν μετὰ τὸν ἑαυτῶν· τῆς οἰκουμένης δὲ τὸ μαρτύριον τοῦ σταυροῦ· οἱ δὲ εὐθέως ἐπηγγείλαντο. εἰπόντες. δυνάμεθα. προσδοκῶντες ἀκούσεσθαι ἅπερ ᾐτήκεσαν:–

Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε:

Ἐπειδὴ ταῦτα εἶπον· δεικνὺς ὅτι οὐκ ἀλαζονείᾳ τὸ εἰρηκέναι φησί· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τουτέστι μαρτυρίου καταξιωθήσεσθε· καὶ ταῦτα πείσεσθε ἅπερ ἐγώ· τὸ δὲ καθῆσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι· ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου· τί ποτε δέ ἐστι τὸ εἰρημένον· δύο γάρ εἰσι τὰ ἀπορούμενα· ἓν μὲν, εἰ ἡτοίμασταί τινι· τὸ καθῆσαι ἐκ δεξιῶν αὐτοῦ· ἕτερον δὲ εἰ ὁ πάντων κύριος ἐκείνοις οἷς ἡτοίμασται, κύριος οὐκ ἔστι παρασχεῖν. πρῶτον μὲν οὖν τὸ πρότερον ἐροῦμεν· ἆρ᾽ οὖν δεῖ ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν καθῆσθαι· ἀνέφικτος γὰρ πᾶσι τῇ κτίσει ὁ θρόνος αὐτοῦ· πῶς οὖν φησὶ τὸ καθῆσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· οὐκ ἔστιν ἐμὸν δοῦναι· ὡς ὄντων καθεδουμένων τινῶν· πρὸς τὴν ὑπόνοιαν ὅλως ἀπεκρίνατο τῶν ἐρωτησάντων· συγκαταβαίνων δὲ αὐτῶν τῇ διανοίᾳ. οὐ γὰρ ᾔδεσαν τὸν ὑψηλὸν θρόνον ἐκεῖνον καὶ τὴν ἐκ δεξιῶν τοῦ πατρὸς καθέδραν· ἀλλ᾽ ἓν ἐζήτουν μόνον· τῶν πρωτείων ἀπολαῦσαι· καὶ πρὸ τῶν ἄλλων στῆναι· ἐπειδὴ γὰρ δώδεκα θρόνων ἤκουσαν ἀγνοήσαντες τί ποτέ ἐστι τὸ εἰρη-

λ' περὶ τῶν υἱῶν Ζεβεδαίου :

ἀλλὰ καὶ περὶ τῶν λοιπῶν πιστεύσωσι :—

λ' ›› Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, υἱοὶ τοῦ
›› Ζεβεδαίου λέγοντες· θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμέν σε ποιή-
›› σῃς ἡμῖν. ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν·
›› οἱ δὲ εἶπον αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς
›› ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. ὁ δὲ Ἰς εἶπεν αὐ-
›› τοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον ὃ
›› ἐγὼ πίνω· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι;
›› οἱ δὲ εἶπον αὐτῷ, δυνάμεθα· ὁ δὲ εἶπεν αὐτοῖς· τὸ μὲν ποτή-
›› ριον ὃ ἐγὼ πίνω πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι
›› βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων
›› μου, οὐκ ἔστιν ἐμὸν δοῦναι· ἀλλ' οἷς ἡτοίμασται. καὶ ἀκούσαν-
›› τες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου·
›› ὁ δὲ προσκαλεσάμενος λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες
›› ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτ
›› κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν
›› θέλῃ γενέσθαι ἐν ὑμῖν μέγας, ἔσται ὑμῶν διάκονος· καὶ ὃς
›› ἐὰν θέλῃ γενέσθαι ἐν ὑμῖν πρῶτος, ἔσται πάντων ὑμῶν δοῦ-
›› λος· καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνου, οὐκ ἦλθε διακονηθῆναι· ἀλλὰ
›› διακονῆσαι· καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Ματθαῖος φη ὅτι ἡ μήτηρ προσῆλθεν· εἰκὸς δὲ ἀμφότερα γενέσθαι·
τὴν γὰρ μητέρα παρέλαβον, ὡς μείζονα τὴν ἱκετηρίαν ἐργασόμενοι· καὶ ταύτῃ τὸν Χν δυσωπήσοντες. ὅτι γὰρ τοῦτο ἦν,
καὶ αὐτῶν μᾶλλον ἡ αἴτησις ἦν· καὶ αἰσχυνόμενοι προβάλ-
λονται τὴν μητέρα, σκόπει πῶς πρὸς αὐτοὺς ἀποτείνει τὸν
λόγον· τὴν δὲ παρατρέχων αἰτοῦν· καὶ αὐτὸ ποιήσας γνώμης· εἶπε
αὐτοῖς εἴπερ ἡ μήτηρ· καὶ ὑπέθεντο ὅτι τοῦτο προῆλθον ἐρουσαι· ἑώ-
ρων αὐτοὺς τιμωμένους παρὰ τοὺς ἄλλους· καὶ προσεδόκησαν
ἐντεῦθεν ἐπιτεύξεσθαι· τί ποτε δὲ ἐστὶν ὃ αἰτοῦσιν. ἀκούσαν-
τες αὐτοῦ λέγοντος περὶ τῆς ἑαυτοῦ βασιλείας, περὶ αἰσθητῆς
ὑπόπτευσαν βασιλείας· ἐνόμιζον ὅτι αὐτοὶ τὴν βασιλείαν
αὐτοῦ, οὕτω ταῦτα· οἱ ἐν θλίψεσι καὶ διωγμοῖς· διὰ τοῦτο
προσῆλθον ταύτην ἀξιοῦντες. οὐ καὶ γινώσκων δὲ ὅπερ τί αἰτῆ-
σαι μέλλονται· φησὶ τί θέλετε· ἀλλ' ἵνα ἀνακαλύψῃ αὐτῶν

φλὸς τὸν κύριον. τὴν διατρέχουσαν δὴ πολλαχοῦ φήμην ἀκούων· καὶ τὴν προσδοκίαν τὴν ἐκ τῶν προφητῶν πάντως μαθών· ἠρώτησε δὲ τὸν τυφλὸν, τί θέλεις ποιήσω σοι· ἵνα μή τις νομίσῃ, ἄλλο βουλομένῳ ἄλλο διδόναι· καὶ γὰρ αὐτῷ πανταχοῦ ἔθος, τὴν προαίρεσιν πρότερον τῶν θεραπευομένων κατάδηλον ποιεῖν ἅπασι· καὶ τότε ἐπάγειν τὴν ἰατρείαν· ἵνα καὶ τοὺς ἄλλους εἰς ζῆλον ἀγάγῃ· καὶ ἵνα δείξῃ τῆς δωρεᾶς ἀξίους ὄντας λαμβάνοντας:·

> Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλὴμ εἰς Βηθσφαγὴ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν, εὑρήσετε πῶλον δεδεμένον· ἐφ᾽ ὃν οὐδέπω οὐδεὶς ἀνθρώπων κεκάθικε· λύσαντες αὐτὸν ἀγάγετε· καὶ ἐάν τις ὑμῖν εἴπῃ τί ποιεῖτε, τοῦτο εἴπατε ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθέως αὐτὸν ἀποστελεῖ ὧδε. ἀπῆλθον δὲ καὶ εὗρον τὸν πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου. καὶ λύουσιν αὐτόν· καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· τί ποιεῖτε λύοντες τὸν πῶλον· οἱ δὲ εἶπον αὐτοῖς καθὼς ἐνετείλατο ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς· καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν· καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτῷ· πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν· ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ τῶν δένδρων, καὶ ἐστρώννυον εἰς τὴν ὁδόν· καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· ὡσαννά· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ· ὡσαννὰ ἐν τοῖς ὑψίστοις· ⁘ καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας. ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα:–

[illegible]

Πολλάκις ἀναβὰς εἰς τὰ Ἱεροσόλυμα πρότερον· οὐδέποτε μετὰ τοσαύτης περιφανείας· καὶ γὰρ προοίμιον ἦν· καὶ οὔτε αὐτὸς κατάδηλος ἦν, οὔτε ὁ καιρὸς τοῦ πάθους ἐγγύς· διὸ ἀδιαφορώτερον αὐτοῖς ἐμίγνυτο· καὶ μᾶλλον κρύπτων ἑαυτόν· οὔτε γὰρ μᾶλλον ἐθαυμαστοῦτο ἐκφαινόμενος· οὕτω καὶ εἰς μείζονα αὐτοὺς ἐξήγειρεν ὀργήν· ἐπεὶ δὲ καὶ τῆς ἑαυτοῦ δυνάμεως πεῖραν ἐνδέδωκεν ἱκανήν· καὶ ὁ σταυρὸς ἐπὶ θύραις ἦν, μειζόνως ἐκ

μὲν οὖν τὴν προεδρίαν διαβάλλει τιμήν· ὅτι τοίνυν φησὶν ὁ Χριστὸς τὸ
τὸ δεῖν· αὐτόθεν μείζονα δείξας. καὶ κοινωνοὺς γενέσθαι μοι τοῦ
παθεῖν· οὐ γὰρ ἀρκεῖ τοῦτο ποιήσαντας, τὴν πρώτην τάξιν
ὑμᾶς ἑαυτῶν ἔχειν· ἂν γάρ τις ἕτερος ἔλθῃ μετὰ τοῦ μαρτυρίου.
καὶ τὴν ἄλλην αἰτίαν σαφῆ ἀρετὴν κεκτημένος. πολλῷ πλείο-
να ὑμῶν. οὐκοῦν ἐπειδὴ φιλῶ ὑμᾶς καὶ τῶν ἄλλων προκρίνω.
διὰ τοῦτο παρωσάμενος ἐκείνους, ὑμᾶς δοῦναι τὰ πρωτεῖα·
ἐκείνοις οἷς ἡτοίμασται τοῖς αὐτοῦ τῶν ἔργων δικαιουμένοις γε-
νέσθαι πρώτοις· παραιτεῖται μὲν τὸ μέλλον οὕτως αὐτοὺς οἰκονομι-
κῶς. ὥστε μὴ ὑπὲρ πρωτείων ἐνοχλεῖν εἰκῆ καὶ ματαίως.
ὁμοῦ καὶ λυπῆσαι μὴ βουλόμενος, ἀμφότερα ταῦτα κατορθοῖ.
ἑτοίμως τὸν υἱὸν ὑπὲρ ἐκείνων καὶ τὸν υἱὸν τοιαύτῃ δόσει· ἀλλ' οἷς ἡ-
τοίμασται ὑπὸ τοῦ πατρός. ὡσεὶ ἔλεγεν ὑπ' ἐμοῦ. ὅθεν ὁ Μάρ-
κος, οὐδὲ εἴρηκεν ὑπὸ τοῦ πατρός μου :-

τέλ(ος) τ(ῆς) β
ἀρχ(ὴ) τ(ῆς) ζ
ιβ

›› Καὶ ἔρχονται εἰς Ἰεριχώ· καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχὼ·
›› καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ. ὁ υἱὸς Τιμαίου Βαρ-
›› τιμαῖος ὁ τυφλός, ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν·
›› καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν·
›› ὁ υἱὸς Δαυὶδ ἐλέησόν με. καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιω-
›› πήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν υἱὲ Δαυὶδ ἐλέησόν με· καὶ
›› στὰς ὁ Ἰησοῦς, εἶπεν αὐτὸν φωνηθῆναι· καὶ φωνοῦσι τὸν τυφλὸν
›› λέγοντες αὐτῷ· θάρσει· ἔγειρε· φωνεῖ σε· ὁ δὲ ἀποβαλὼν τὸ
›› ἱμάτιον αὐτοῦ, ἀναστὰς ἦλθε πρὸς αὐτὸν τὸν Ἰησοῦν· καὶ ἀπο-
›› κριθείς, λέγει αὐτῷ ὁ Ἰησοῦς· τί θέλεις ποιήσω σοι· ὁ δὲ τυφλὸς
›› εἶπεν αὐτῷ· ῥαββουνί, ἵνα ἀναβλέψω· ὁ δὲ Ἰησοῦς εἶπεν αὐ-
›› τῷ· ὕπαγε· ἡ πίστις σου σέσωκέ σε· καὶ εὐθέως ἀνέβλεψε
›› καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ :-

Ἑρμ(ηνεία)

ὁ μὲν οὖν τυφλὸν τὸν τῆς Ἰεριχὼ ἐξιόντος καθήμενον κατὰ τὴν ὁδόν, συμφω-
νεῖ τῷ Ματθαίῳ καὶ Λουκᾷ· ἕνα δὲ τυφλὸν οὗτός φησι καὶ Λου-
κᾶς. Ματθαῖος δὲ δύο· τοῦτο δὲ οὐδὲν πρὸς διαφωνίαν τῆς
ἱστορίας. ἐνδέχεται γὰρ τοῦ ὄντως φανερωτέρου μεμνῆσθαι τοῦτόν τε
καὶ τὸν Λουκᾶν πεποιηκέναι· ὅπερ καὶ ὀνομαστὶ δεδήλω-
κεν ὁ Μάρκος· εἰπὼν τὸν υἱὸν Τιμαίου. καὶ Βαρτιμαῖον τὸν
τυφλόν· ὡς ἐπιφανῆ τότε ὄντα. υἱὸν δὲ Δαυὶδ ἐκάλει ὁ τυ-

> σε. καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ· καὶ ἐλθὼν ἐπ' αὐτὴν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων. καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ· μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. καὶ ἔρχονται εἰς Ἱεροσόλυμα:-

Ματθαῖος τὸ πρωῒ φησὶ προστίθησι. πῶς δὲ πρωῒ πεινᾷ; ἢ δῆλον ὅτι συνεχώρησε τῇ σαρκὶ τοῦτο παθεῖν. οὕτως δέ φησιν, ὅτι ἦλθεν εἰ ἄρα εὕροι ἐν αὐτῇ καρπόν· ὅθεν δῆλον, ὅτι τῆς ὑπονοίας αὐτῶν ἦν. καὶ γὰρ τὰς ὑπονοίας τῶν μαθητῶν γράφουσιν. οὕτως δὴ καὶ τὸ νομίζειν διὰ τοῦτο αὐτὴν καταρᾶσθαι. καταρᾶται δὲ, τῶν μαθητῶν ἕνεκεν· ἵνα θαρρῶσιν. ἐπειδὴ γὰρ πανταχοῦ μὲν εὐεργετεῖ· οὐδένα δὲ ἐκόλασεν· ἔδει δὲ τῆς τιμωρητικῆς αὐτοῦ δυνάμεως πεῖραν σχεῖν· ἵνα μάθωσιν ὅτι δυνάμενος ξηρᾶναι Ἰουδαίους, ἑκὼν συγχωρεῖ καὶ οὐ ξηραίνει. οὐκ ἐβούλετο δὲ τοῦτο εἰς ἀνθρώπους ἐνδείξασθαι· εἰς φυτὸν οὖν τῆς ἐνεργείας αὐτοῦ τὴν ἀπόδειξιν ταύτην παρέσχετο. ἐντεῦθεν δὲ δῆλον, ὅτι προηγουμένως εἰς τοῦτο ἦλθεν· οὐ διὰ τὴν πεῖναν· ἀλλὰ διὰ τοὺς μαθητάς. οὐ γὰρ ἦν καιρὸς σύκων. τίς γὰρ οὕτως εὐήθης, ὥστε ὑπολαμβάνειν, ὅτι ἐν τῷ πρωΐμῳ καιρῷ [illegible] ἢ εἴπερ οὐ ἐπείνα καὶ τὸ ἀληθεῖν. πότε ἐνόμιζεν αὐτὴν δεῖ, τί τὸ κωλύον ἦν αὐτὸν φανῆναι πρὸ οἰκείας ἀπελθεῖν. οὐδὲ γὰρ ἐν ἐκείνῃ ζητεῖν ὡς ἐκ τοῦ καρποῦ θέλων γνῶναι πρὸς τὴν πεῖναν αὐτὸν ἐξελέξατο· οὐ γὰρ ἦν καιρὸς σύκων. ποιῶν δὲ πῶς οὐχ ἑτέρωθεν ἐζήτει τροφήν· ἀλλ' ἀπὸ τῆς συκῆς ἦν· οὐ δυνατὸν ἔχειν πρὸ τοῦ καιροῦ καρπόν· ποίας δὲ αἰτίας ἡ συκῆ ἦν ἀξία, τὸ καὶ μὴ ἔχειν αὐτὴν καρπὸν πρὸ καιροῦ; ὥσπερ καὶ ὡς ἐκ τούτου μάλιστα δῆλον ὅτι [illegible], ὅτι πεῖναν μὲν οὐκ ἦν· πρόσχημα δὲ πείνης τὴν οἰκείαν ἐνδείκνυται δύναμιν, εἰς μὴ οἴεσθαι αὐτοὺς αὐτομάτως τὸ πάθος αὐτὸν καταδέξασθαι. διὰ τοῦτο φυτὸν ἐπιλεξάμενος, ὃ καὶ εἶπε μάταιος. οὐ ῥᾳδίως τὴν ἐκ φυτῶν ὑγρασίαν ἀποτίθεσθαι πέφυκε, τοῦτο διὰ μιᾶς ἐξήρανε τῆς ἐπιτιμήσεως. ἄλλος δέ φησιν ὅτι τὴν μέλλουσαν κατὰ Ἰλκίαν κρίσιν, ἐπὶ τῆς συκῆς ἔδειξε. φύλλα δὲ εἶχε μόνον αὐτὴ δὴ καὶ ἔαρος ὄντος. καὶ δοκεῖ μὲν κατὰ χρείαν τροφῆς ἐλϛ′ περὶ τῆς ξηρανθείσης συκῆς:

Κατὰ δὲ ἑορτὴν, ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὃν ᾐτοῦντο· ἦν δὲ ὁ λεγόμενος βαραββᾶς μετὰ τῶν συστασιαστῶν, δεδεμένος· οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν· καὶ ἀναβοήσας ὁ ὄχλος, ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ ἐποίει αὐτοῖς· ὁ δὲ πιλάτος ἀπεκρίθη αὐτοῖς λέγων· θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν ἰουδαίων; ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς· οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν βαραββᾶν ἀπολύσῃ αὐτοῖς· ὁ δὲ πιλάτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς· τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν ἰουδαίων; οἱ δὲ πάλιν ἔκραξαν λέγοντες· σταύρωσον αὐτόν· ὁ δὲ πιλάτος ἔλεγεν αὐτοῖς· τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσοτέρως ἔκραζαν· σταύρωσον αὐτόν· ὁ δὲ πιλάτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν· καὶ παρέδωκε τὸν ἰν φραγελλώσας, ἵνα σταυρωθῇ· οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς ὅ ἐστι πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν· καὶ ἐνδύουσιν αὐτὸν πορφύραν· καὶ περιτιθέασιν αὐτῷ, πλέξαντες ἀκάνθινον στέφανον· καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν· χαῖρε ὁ βασιλεῦ τῶν ἰουδαίων· καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ· καὶ ἐνέπτυον αὐτῷ· καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ· καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν· καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν· καὶ ἀγγαρεύουσι τιν

πημονὴν εἶναι τὸν πατέρα· καὶ οὐκ ἐπὶ μετὰ πάθους· τὸ δὲ ἵνα τί, δείκνυσιν ὅτι οὐδεμιᾶς παρ' αὐτοῦ αἰτίας· καὶ ὅτι οὐκέτι ἐγκαταλελεῖφθαι παρὰ πατρὸς ὅτι οὐκ εἶμι μόνος· ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστιν· ἐν ἑαυτῷ δὲ σχηματίζει τὸ ἐκεῖθεν ρον· ἡμεῖς γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι· εἴ τι παρεσπιλημμένοι καὶ σεσωσμένοι τοῖς τοῦ ἀπαθοῦς παθήμασιν :— ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσεν :

Ἵνα δειχθῇ ὅτι κατ' ἐξουσίαν τὸ πνεῦμα ἀφίεται, οὕτως ἐποίησεν· ὡς γὰρ ὁ παρὼν εὐαγγελιστής φησιν, ἐθαύμασεν ὁ Πιλᾶτος εἰ ἤδη τέθνηκε· διὰ τοῦτο μάλιστα καὶ ὁ κεντυρίων ἐπίστευσεν ὅτι μετ' ἐξουσίας ἀπέθανε· μεγάλην γὰρ φωνὴν ἀφῆκε, τουτέστιν ἰσχὺν ἔχων· καὶ μηδὲν θανάτου φθάνουσαν σημεῖον· ἡ δὲ φωνὴ ποία; φησὶν ὁ Λουκᾶς· πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου· αὕτη ἡ φωνὴ τὸ καταπέτασμα ἔσχισε· καὶ τὰ μνημεῖα ἀνέῳξε· καὶ τὸν οἶκον ἐποίησεν ἔρημον· οὐχ ὑβρίζουσα εἰς τὸν ναόν· ἀλλ' ἀναξίους αὐτοὺς ἀποφήνας τῆς ἐκεῖσε διατριβῆς· καὶ προφητεία τὴν μέλλουσαν ἐρήμωσιν· καὶ ὅτι ἤδη συντελεῖσθαι μέλλει δεῖ τὴν τοῦ νόμου σκιάν· παραδειχθήσεσθαι δὲ τὰ ἅγια τῶν ἁγίων, τοῖς διὰ πίστεως· τὸ σχισθῆναι δὲ καὶ ὡς μασίμολοι τὸν ... οὐδὲν μὸς, εἰς τὴν ἐσωτέραν τε σχ... καὶ σκηνήν, οἱ κατ' ἀρχὴν ἴσμεν τοῦ Χ(ριστο)ῦ :—

» Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕ-
» τως κράξας ἐξέπνευσεν, εἶπεν· ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς
» ἦν θ(εο)ῦ· ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι· ἐν
» αἷς ἦν Μαρία ἡ Μαγδαληνή· καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μι-
» κροῦ· καὶ Ἰωσῆ μήτηρ· καὶ Σαλώμη· αἳ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ
» ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ
» συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα :

Ὁ μὲν οὖν κατὰ Ματθαῖον κεντυρίων καὶ οἱ στρατιῶται, ὡς γὰρ ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα· οἷον τὸ καταπέτασμα καὶ τὰς πέτρας σχισθείσας, ἐφοβήθησαν σφόδρα λέγοντες· ἀληθῶς θ(εο)ῦ υἱὸς ἦν οὗτος· οὗτος δὲ καὶ ὁ κατὰ Λουκᾶν, ὄντως λέγουσι τὸν ἄν(θρωπ)ον δίκαιον· ἴσως μὲν ἐκεῖνο οὐκ εἰδότες· μόνον δὲ ἀκούσαντες αὐτοῦ τὴν μεγάλην φωνήν· καὶ ἐν ταύτῃ ταχέως αὐτὸν τελευτήσαντα ἰδόντες· οὐ διὰ τὸ πιεσθῆναι αὐτοῦ τῶν ἀγκαλῶν κατὰ τὸ ἔθος :—

Οὗτος μέν φησιν, ὅτι τρίτῃ ὥρᾳ ἐσταυρώθη· Ματθαῖος δέ, ὅτι ἕκτης ὥρας τὸ σκότος ἐγένετο. Καὶ εἰκὸς μὲν αὐτὸν ἐσταυρῶσθαι ἀπὸ τρίτης ὥρας· ἀπὸ δὲ ἕκτης τὸ σκότος γεγενῆσθαι. Καὶ τὰ λοιπὰ σημεῖα· ὅπερ ἱκανὸν ἦν αὐτοὺς ἐπιστρέψαι· οὐ τῷ μεγέθει τοῦ θαύματος μόνον· ἀλλὰ καὶ τὸ εὐκαίρως σημαίνει· μετὰ γὰρ πάντα ταῦτα τῆς παροινίας τοῦτο ἐμπλῆσαι· ὅτε τὸν θυμὸν ἐκόρεσαν· καὶ πάντα ὅσα ἐβούλοντο λέγοντές τε καὶ ποιοῦντες. Τινὲς δέ φασιν ὅτι ὁ Μάρκος τῆς τοῦ λαοῦ ἀποφάσεως ἐπιμνησθείς, εἶπε τρίτην ὥραν αὐτὸν ἐσταυρῶσθαι ὑπὸ τοῦ λαοῦ· τρίτη γὰρ ὥρα ἦν, ὅτε ὁ Ἰουδαίων λαὸς κατέκρινε σταυρωθῆναι· οἱ δὲ λοιποὶ τῆς ἕκτης ἐμνήσθησαν ὥρας· ἐν ᾗ τὴν ὑπὸ Πιλάτου ἀπόφασιν λαβών, σταυροῦται παρὰ τῶν στρατιωτῶν: —

Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ, ὠνείδιζον αὐτόν:

Ἀκριβέστερον ὁ Λουκᾶς περὶ τῶν λῃστῶν ἐκτίθεται· ὁ μὲν γὰρ Ματθαῖος καὶ οὗτος, παρατρέχοντες εἶπον· ὅτι καὶ οἱ συσταυρωθέντες ὠνείδιζον αὐτόν· ὁ δὲ Λουκᾶς, ἕνα μὲν τὸν μεγάλως βλασφημήσαντά φησι· τὸν δὲ ἕτερον, ἐπιτιμᾶν αὐτῷ· ὡς καὶ δικαίως ἐπὶ τῇ ἐγκληθείσῃ λῃστείᾳ· ἢ δυνατὸν τὸ δὲ καὶ οἱ δύο πρότερον μεγάλως βλασφημεῖν· τὸν δὲ ἕτερον μαθόντα που καὶ ἀποσχέσθαι· καὶ μεταθέσθαι τὸν ἔχοντα τὴν πικρίαν: —

Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης· καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ, ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· ἐλωῒ ἐλωῒ λιμᾶ σαβαχθανί· ὅ ἐστι μεθερμηνευόμενον ὁ θεός μου ὁ θεός μου εἰς τί με ἐγκατέλιπες. Καί τινες τῶν παρεστηκότων, ἀκούσαντες ἔλεγον· ἰδοὺ Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν λέγων· ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω: —

Ἵνα μὴ εἴπωσί τινες ἔκλειψιν εἶναι τὸ γεγενημένον, τεσσαρεσκαιδεκάτης οὔσης τῆς σελήνης τοῦτο γέγονεν· ὅτε ἔκλειψιν γενέσθαι ἀδύνατον· ἐν μέσῃ δὲ ἡμέρᾳ· ἵνα πάντες οἱ τὴν γῆν οἰκοῦντες, μάθωσι τὸ γενόμενον· καὶ μετὰ τοῦτο δὲ φθέγγεται, ἵνα μάθωσιν ὅτι ἔτι ζῇ· καὶ αὐτὸς τοῦτο ἐποίησε. Λέγει δὲ ἐλωῒ ἐλωῒ λιμᾶ σαβαχθανί· ἵνα μάθωσιν ὅτι μέχρις ἐσχάτης ὥρας

» ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θ(εο)ῦ· τολ-
» μήσας εἰσῆλθε πρὸς πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ ι(ησο)ῦ. ὁ δὲ
» πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε. καὶ προσκαλεσάμενος
» τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε. καὶ
» γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ ἰωσήφ.
» καὶ ἀγοράσας σινδόνα. καὶ καθελὼν αὐτόν, ἐνείλησε τῇ σιν-
» δόνι. καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ. ὃ ἦν λελατομημένον
» ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνη-
» μείου· ἡ δὲ μαρία ἡ μαγδαληνὴ καὶ μαρία ἰωσῆ. ἐθεώρουν
» ποῦ τίθεται.

Καὶ τοῦτο δὲ οὐχ ἁπλῶς σεσημείωνται οὐ μόνον τὸ λαβεῖν αὐτὸν
τὸν ἀπὸ ἀριμαθαίας ἰωσήφ· οὐδὲ τὸ θάψαι πολυτελῶς·
ἀλλὰ καὶ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ. ὡς ὁ ματθαῖός φησιν·
ἀλλ' ἵνα μὴ δῷ ὑποψίαν τινά, ὡς ἕτερος ἀνέστη καὶ οὐχ οὗτος:—

ευ ἑω β

» Καὶ διαγενομένου τοῦ σαββάτου, μαρία ἡ μαγδαληνὴ. καὶ
» μαρία ἡ τοῦ ἰακώβου· καὶ σαλώμη, ἠγόρασαν ἀρώματα·
» ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. καὶ λίαν πρωῒ τῆς μιᾶς
» σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου·
» καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ
» τῆς θύρας τοῦ μνημείου· καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι
» ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. καὶ εἰσελθοῦσαι
» εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς·
» περιβεβλημένον στολὴν λευκήν· καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέ-
» γει αὐταῖς· μὴ ἐκθαμβεῖσθε· ἰ(ησο)ῦν ζητεῖτε τὸν ναζαρηνὸν τὸν
» ἐσταυρωμένον, ἠγέρθη οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔ-
» θηκαν αὐτόν· ἀλλ' ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ
» καὶ τῷ πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν·
» ἐκεῖ αὐτὸν ὄψεσθε καθὼς εἶπεν ὑμῖν· καὶ ἐξελθοῦσαι ταχὺ
» ἔφυγον ἀπὸ τοῦ μνημείου. εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκ-
» στασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ:—

Μετὰ τὴν ἀνάστασιν ἦλθεν ὁ ἄγγελος· καὶ τὸν λίθον ἦρε δι' αὐτὰς
γυναῖκας, ἵνα πιστεύσωσιν ὅτι ἠγέρθη· ὁρῶσαι τὸν τάφον
κενὸν τοῦ σώματος· παραγίνονται δὲ αὐταὶ ἐπὶ τὸν τάφον.
ὁ μὲν ματθαῖος, ὀψὲ σαββάτων φησίν· ὁ δὲ λουκᾶς, ὄρθρου
βαθέος· καὶ ἰωάννης τῇ μιᾷ τῶν σαββάτων φησὶ πρωΐ.

Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι:

Ἀναγκαίως καὶ καλῶς ἡ παραμονὴ τῶν γυναικῶν εἰς τὸ μνῆμα προστίθεται· ἵνα αὐταὶ παραστήσωσι· καὶ τῆς αὐτοῦ ἀναστάσεως τὴν εὐαγγελίαν κομίσωσι τοῖς μαθηταῖς. τὸ γὰρ γένος τὸ γυναικεῖον κατακριθὲν, τοῦτο πρῶτον ἀπολαύει τῆς τῶν ἀγαθῶν θεωρίας. ἔλαττον γὰρ φόβου ἐρρωμένην ταῖς γυναιξὶν ἢ περὶ τοῖς μαθηταῖς. παραμεῖναι καὶ ταῦτα θεωρῆσαι. παραμένουσι δὲ· μαρία ἡ μαγδαληνὴ· καὶ ἡ μήτηρ τοῦ κυ(ρίου)· καὶ ἡ τῶν ζεβεδαίου υἱῶν μήτηρ. ἔφη γὰρ ὁ ἰωάννης παρεῖναι τῷ σταυρῷ, καὶ τὴν τοῦ κυ(ρίου) μητέρα. ταύτην δὲ ὑπονοητέον λέγειν ματθαῖόν τε καὶ μάρκον· μητέρα ἰακώβου τοῦ μικροῦ. καὶ ἰωσῆ· τινὲς δὲ μηδὲ μνήμην αὐτῆς πεποιῆσθαι φασὶ ματθαῖόν τε καὶ μάρκον· τὴν δὲ σαλώμην ὑπονοητέον λέγειν τὴν μητέρα τῶν υἱῶν ζεβεδαίου· ἧσπερ καὶ ὁ ματθαῖος ἐμνημόνευσεν ἀνωνύμως· τούτων γὰρ ὡς ἐπισημοτέρων διαφερόντως ἐξ ὀνόματος ἐμνημόνευσεν. ὁ δὲ λουκᾶς κοινὸν τῶν ἑπομένων γυναικῶν ἐμνήσθη, ταῖς αὐτῷ τῶν χρημάτων μεταδούσαις ἐπισυναχθείσαις. ἄλλας τε πολλῶν γυναικῶν οὐσῶν, κατ᾽ ἐξοχὴν ὀνομασθῆσαν· αἳ μᾶλλον θεωροῦσαι καὶ διακονοῦσαι. καὶ περιττὸν ἀκολουθοῦσαι. ἡ ἀπὸ τοῦ μεγαλισμοῦ μαρία. μαγδαληνὴ γάρ, μεγαλισμὸς ἑρμηνεύεται. καὶ ἡ τοῦ ἐπωνύμου τῶν πατριαρχῶν μήτηρ· τοῦ πτερνίσαντος τὸν ἀδελφόν. οὗ ἡ μήτηρ ὀνομαζομένη παρὰ μάρκῳ σαλώμη ὅ ἐστιν εἰρήνη. καὶ πᾶσαι δὲ αἱ καταλιποῦσαι τὴν κατακυλιστὴν καὶ αὐτῶν τὴν γαλιλαίαν ψυχὴν καὶ ἑπόμεναι τῷ λόγῳ. καὶ πάσῃ δυνάμει παραστησόμεναι, ὁρῶσι κατὰ ἀλήθειαν καὶ τὴν νεκρότητα τοῦ σώματος ἰ(ησο)ῦ. καὶ τὸν τρόπον τοῦ μετ᾽ εὐχῆς αὐτὸν παραθέσθαι τὸ πνεῦμα τῷ πατρί. τέλος δὲ τῶν καταλιπουσῶν τὴν γαλιλαίαν ἐθνῶν καὶ ἀκολουθούντων ἰ(ησο)ῦ· τὸ μὴ μόνον ἀναβαίνειν εἰς ἱ(ερουσα)λῆμ· ἀλλὰ καὶ σὺν αὐτῷ. οὐχ οἱ πολλοὶ δὲ τῇ ἕκτῃ ἡμέρᾳ τὸν θάνατον ὑπομεῖναι φασίν· ἔδει γὰρ τὸν ἐν ἕκτῃ ἡμέρᾳ τὸν ἀδὰμ ποιήσαντα, τῇ ἕκτῃ ταύτῃ ἡμέρᾳ ὑποστῆναι τὸν ὑπὲρ αὐτοῦ θάνατον· ἵν᾽ ἐξέλκῃ αὐτὸν τῆς τοῦ θανάτου φθορᾶς:–

κε ἀπὸ
παθῶν:

Καὶ ἤδη ὀψίας γενομένης ἐπεὶ ἦν παρασκευή. ὅ ἐστι προσάββατον, ἐλθὼν ἰωσὴφ ὁ ἀπὸ ἀριμαθαίας εὐσχήμων βουλευτὴς

λεγόντων γυναικῶν· καὶ τοὺς καιροὺς καὶ τὰς ὀπτασίας διαφό-
ρους· μαθητοῦ μηδὲ ἂν προσεῖναι τῷ παρὰ τοῖς ἄλλοις λεχθέν-
τι· τινὲς μὲν γάρ φασιν ὡς ἡ μαρία ἡ μαγδαληνή. καὶ μαρία
ἡ τοῦ ἰακώβου· καὶ σαλώμη ἡτοίμασαν ἀρώματα· οὐκ αὗ-
ται δέ εἰσιν αἱ πρωῒ ἐλθοῦσαι ἀνατείλαντος τοῦ ἡλίου· ἀλλ' ἄλ-
λαι ἀνώνυμοι· πολλαὶ γὰρ ἦσαν αἱ συναναβᾶσαι αὐτῷ
ἀπὸ τῆς γαλιλαίας· αὗται δὲ αἱ κατὰ μάρκον ἐλθοῦ-
σαι ἀνατείλαντος τοῦ ἡλίου· καὶ αὐτελεξ δρόμον τὸν διέκειν-
το· ὄρθρον καὶ οὐ νύκτωρ παραπέμπονται· ἀλλ' αἱ πρωῒ·
ἀκούσασαι δὲ ἀπαγγεῖλαι τοῖς μαθηταῖς καὶ τῷ πέτρῳ,
ἔφυγον· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ· μόναι γὰρ
αὗται ἐλθοῦσαι καὶ ἀληθεῖ ὄψει πεισθεῖσαι· ὡς μηδὲ ἀνατο-
λὴν ἡλίου ἀνελθοῦσαι, οὔτε τὸν σταυροῦ θεασάμεναι καταξιοῦν-
ται· οὔτε τὸν ἄγγελον τὸν ἐξ οὐρανοῦ κατιόντα· οὔτε τοὺς δύο τοὺς
ἔσω τοῦ μνήματος· οὔτε τοὺς δύο τοὺς παρὰ τῷ λουκᾷ ἄν-
δρας· ψιλὸν δέ τινα νεανίσκον εἶδον· περιβεβλημένον
στολὴν λευκήν· ἀναλόγως τῇ τῆς διανοίας αὐτῶν σμικρότητι
τὴν ὀπτασίαν ἰδοῦσαι· ἕτεροι δέ φασιν· ὅτι μὲν οὐ παρῆσαν
τοῖς ἐν τῇ αὐγῇ ταφῆς σὺν ὁμοίως οἱ εὐαγγελισταὶ ἐν τούτῳ μὴ δῆ-
λον· αἰκεὰν δ' εἰ καί πως ἐν τοσούτῳ θορύβῳ παραγενομένων τῶν
αὐτοῖς παρὰ πᾶσαν ἐλπίδα σημείων τῶν ἐπακουσάντων, τῶν
γεγονότων, αἱ πολλοὶ καὶ ἕτερον τινὰ ἐκ θεσμῶν ἐποιήσαντο· τῆς
θείας χάριτος τοῦτο συγχωρούσης· ὥστε φανῆναι τὸ περίερ-
γον αὐτῶν τοῦ τῆς ἀναστάσεως θαύματος· καὶ τῶν λοιπῶν
δογμάτων συμφώνως ἐπὶ πάντων κηρυττομένων· καλεῖ
δὲ εἰς τὴν γαλιλαίαν ἀπάγειν τοὺς μαθητάς φησιν ὁ ἄγ-
γελος τὸν κατειρηκότα καὶ κελεύει αὐτὸν μὴ φοβεῖσθαι· ἀπαλλάττων
καὶ μηδὲ ὁμιλίας παραγγελμάτων τοὺς μαθητάς· ὡς τὸν
φόνον δεδιότας ἐν ὄχλῳ ἐπὶ πόλει· τὸ δὲ κεφάλαιον καὶ τῷ πέ-
τρῳ εἰπεῖν, σημαίνει αὐτῷ ὡς οὐχ ἡ ἄρνησις ἀπώσατο·
ἀλλ' ἡ μετάνοια πάλιν αὐτὸν προσελάβετο καὶ τοῖς ἀποστό-
λοις συνῴκισεν εἰς ἀριθμόν.–

εὐ ἑωθ
β

Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον μαρίᾳ
τῇ μαγδαληνῇ ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια· ἐκείνη πο-
ρευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις πενθοῦσι

σκοτίας ἔτι οὔσης· ὡς φαίνεσθαι προπαρελθοῦσαν τὴν νύκτα
πολύ· καὶ πρὸς ἡμέραν ἀμείβεσθαι· τὸν γὰρ τοιοῦτον καιρὸν δυνατὸν ὀ-
ψὲ σαββάτων καλεῖσθαι· καὶ κατὰ τὸν ὄρθρον τῆς μιᾶς τῶν σαβ-
βάτων· λίαν δὲ πρωῒ καὶ οὕτως εἰπόντων. τὸ νυκτερινὸν ἔτι τῆς ὥ-
ρας ἐδήλωσε· δῆλον γὰρ ὅτι οἱ μὲν ὀψὲ σαββάτων εἰπόντες τὴν ἀ-
ναστάσιμον ἡμέραν, ἠβουλήθησαν ἀποδεῖξαι· ὁ δὲ ματθαῖος
τὸ ὀψὲ σαββάτου λέγων, τὴν ἀρχὴν τῆς ἀναστάσεως δηλοῖ·
ἄρχεται δὲ ὁ σαββατισμὸς ἰουδαίων. καὶ πᾶσα νόμιμος
ἑορτή, ἀπὸ ἑσπέρας· ἀλλ' οὐδὲ τὸ ἀναβλέψαι καὶ θεωρῆσαι
ὅτι ἀποκεκύλισται ὁ λίθος. ἐναντίον μέν τι τῷ ὑπὸ τοῦ ματθαί-
ου εἰρημένῳ ὅτι μετὰ τὸ τὰς γυναῖκας ἐλθεῖν. σεισμὸς ἐγένετο
μέγας· καὶ ἄγγελος κυ καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπε-
κύλισε τὸν λίθον. ἐν ὅσῳ γὰρ κατὰ τὸν μάρκον διελογίζοντο
πρὸς ἑαυτὰς φάσκουσαι αἱ γυναῖκες, τίς ἀποκυλίσει ἡμῖν
τὸν λίθον· ὡς μέγαν [illegible] ἀποκυλισθέντος αὐτοῦ, καταβὰς ὁ
ἄγγελος ἀπεκύλισε· καὶ οὕτως ἀναβλέψασαι, εἶδον ὅτι ἀπο-
κεκύλισται ὁ λίθος· τὸ γὰρ ἀποκυλισθῆναι αὐτὸν ὑπὸ τοῦ
ἀγγέλου, παρεσιώπησεν ὁ μάρκος· ὡς τοῦ ματθαίου
αὐτὸ εἰρηκότος. εἰ δὲ ὁ μὲν ματθαῖος φησὶν ἐπάνω τοῦ λίθου
κεκαθικέναι τὸν ἄγγελον· μάρκος δὲ μετὰ τὸ εἰσελθεῖν εἰς
τὸ μνημεῖον ἰδεῖν αὐτὰς νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς
περιβεβλημένον στολὴν λευκήν· οὐδ' οὕτω διαφωνία τίς ἐστιν·
ἐνδέχεται γὰρ ὃν κατὰ τὸν ματθαῖον ἐθεάσαντο καθήμενον
ἐπὶ τῷ λίθῳ. ἔχοντα τὴν ἰδέαν αὐτοῦ ὡς ἀστραπήν. καὶ τὸ
ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸ
μνημεῖον τὸν αὐτὸν θεωρῆσαι προάγοντα αὐτόν· καὶ ἐν τοῖς
δεξιοῖς καθεζόμενον. ὃν καὶ ἐν εἴδει νεανίσκου ὁ μάρκος τεθεω-
ρηκέναι φησί· τοιῷ γὰρ εἴδει αὐτὸν ἐθεάσαντο. ὃ καὶ ἔφησεν ὁ ματ-
θαῖος· οὐ καὶ γνωστέον δὲ ὡς διαφόρους ὀπτασίας γενέσθαι
φασίν. οἱ τὴν δοκοῦσαν διαφωνίαν διαλῦσαι σπουδάσαντες· καὶ
ἄλλας μὲν εἶναι τὰς παρὰ τῷ ματθαίῳ γυναῖκας· ἑτέρας
δὲ τὰς παρὰ τῷ μάρκῳ· τὴν μαγδαληνὴν μαρίαν διὰ τὸ πολ-
λὴν σπουδὴν πάσαις ἐξακολουθοῦσαν, καὶ τὰς διαφόρους
ὀπτασίας θεασαμένην· καὶ τὸν καιρὸν δὲ τῆς ἐπὶ τὸ μνημεῖον
ἀφίξεως διαφορουμένων. τῶν μὲν εὐαγγελιστῶν ἄλλας καὶ ἄλλας

Καὶ ἐσ ὁ ὡς δηλό· τὸν μὲν τῆς αἱμαστάσεως· οἱ δὲ σαλευόμενοι· τὸν
δὲ τῆς τοῦ σταυροῦ ἐπιφανείας, τὸ περὶ ταφῆς παραλείπουσιν ἀ-
πιγράφοις. οὐκ ἦν δὲ ταῦτα τὰ ἐπιφερόμενα ἐν τῷ κατὰ
μάρκον εὐαγγελίῳ· ὡς μόθω γὰρ εἰπόμενον αὐτῷ τιμ
εἶναι· κλῆσις δὲ ἐξ ἀκεραίων ἀπιγράφων ὡς ἐμπλεί-
στοις εὑρόντες αὐτὰ κατὰ τὸ παλαιὸν τιμώμενον εὐαγγέ-
λιον μάρκου ὡς ἔχει ἀλήθειαν. ἐπειθείαν
καὶ τὴν ἐπ᾽ αὐτῶ ἐπιφερομένην δὲ ἀπο-
τικὴν ὑμνῶσιν· μὴ τὸ ἀφυλάττου γάρ·
διὸ δόξαν ἀναπέμπομεν τῷ αἵματι
τι ἐκκεχυμένῳ χριστοῦ τοῦ θεοῦ ἡμῶν· ἅμα
τῷ ἀνάρχῳ πατρὶ· καὶ τῷ ζωο-
ποιῷ πνι· νῦν καὶ ἀεὶ, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων
ἀμ

ἀμήν :–

τέλος τοῦ κατὰ μάρκον ἁγίου εὐαγγελίου :–

ὁ κατὰ μάρκον εὐαγγέλιον μετὰ δέκα ἔτη τῆς τοῦ
χυ ἀναλήψεως παρ᾽ αὐτοῦ τοῦ μάρκου ἐγρά-
φη παρὰ τοῦ πέτρου διδαχθέντος
αὐτό :–

» καὶ ἔκλαιον. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐ-
» τῆς, ἠπίστησαν· μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦ-
» σιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ πορευομένοις εἰς ἀγρόν·
» κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐ-
» κείνοις ἐπίστευσαν· ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδε-
» κα, ἐφανερώθη καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκλη-
» ροκαρδίαν ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον ἐκ
» νεκρῶν οὐκ ἐπίστευσαν· καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἰς
» τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ
» κτίσει· ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀ-
» πιστήσας κατακριθήσεται· σημεῖα δὲ τοῖς πιστεύσασι
» ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκ-
» βαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θα-
» νάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ· ἐπὶ ἀρρώστους χεῖ-
» ρας ἐπιθήσουσι καὶ καλῶς ἕξουσιν· ὁ μὲν οὖν κύριος μετὰ τὸ
» λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν· καὶ ἐκάθισεν ἐκ
» δεξιῶν τοῦ θεοῦ· ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ·
» χοῦ· τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ
τῶν ἐπακολουθούντων σημείων ἀμήν :—

Ἐπειδὴ δὲ ἔν τισι τῶν ἀντιγράφων πρόσκειται τῷ κατὰ Μάρ-
κον εὐαγγελίῳ· ἀναστὰς δὲ τῇ μιᾷ τοῦ σαββάτου πρωΐ, ἐ-
φάνη μὲν μαρίᾳ τῇ μαγδαληνῇ καὶ τὰ ἑξῆς· δοκεῖ δὲ τοῦτο δι-
αφωνεῖν τῷ ὑπὸ τοῦ ματθαίου εἰρημένῳ, ἐροῦμεν ὡς δυνα-
τὸν εἰπεῖν· ὅτι μεμόθευται τὸ παρὰ μάρκῳ ἐν ὑστάτῳ φερό-
μενον· πολλὴν εἶναι καὶ δόξαν μὲν ἐπὶ τὸ [illegible] καταφεύγειν·
ἢ τέως ἀναγνωσόμεθα· ἀναστὰς δέ. καὶ ὑποστίξαντες,
ἐπάγωμεν· πρωῒ τῇ μιᾷ τοῦ σαββάτου ἐφάνη μαρίᾳ τῇ
μαγδαληνῇ· ἵνα τὸ μὲν ἀναστὰς ἀναφέρωμεν ἐπὶ τὴν
παρὰ τῷ ματθαίῳ ὀψὲ σαββάτων· τότε γὰρ εἰκὸς ἐγηγέρθαι
αὐτὸν φησί· τὸ δὲ ἑξῆς ἑτέρας ὂν διανοίας προσαρμόσαντες ταῖς
[illegible] τοῖς ἀπαγγελλομένοις· τὸ μὲν γὰρ ὀψὲ σαββάτων
κατὰ ματθαῖον ἐγήγερται· [illegible]
μαρίαν τὴν μαγδαληνήν· τοῦτο οὖν ἐδήλωσε καὶ ὁ ἰωάννης
πρωῒ καὶ αὐτὸς τῇ μιᾷ τῶν σαββάτων ὦφθαι αὐτὸν τῇ
μαγδαληνῇ· [illegible] αὐτὸν παρίστασθαι [illegible]

Καιροὺς δύο· τὸν μὲν τῆς ἀναστάσεως· ὀψὲ σαββάτων· τὸν
δὲ τῆς τοῦ σωτῆρος ἐπιφανείας, τὸ πρωΐ· παρὰ πλείστοις ἀν-
τιγράφοις. οὐ κεῖνται δὲ ταῦτα τὰ ἐπιφερόμενα ἐν τῷ κατὰ
μάρκον εὐαγγελίῳ· ὡς νόθα γὰρ ἐνόμισαν αὐτά τινες
εἶναι· ἡμεῖς δὲ ἐξ ἀκριβῶν ἀντιγράφων ὡς ἐν πλεί-
στοις εὑρόντες αὐτὰ κατὰ τὸ παλαιστιναῖον εὐαγγέ-
λιον μάρκου ὡς ἔχει ἡ ἀλήθεια, συντεθείκα-
μεν καὶ τὴν ἐν αὐτῷ ἐπιφερομένην δεσπο-
τικὴν ἀνάστασιν· μετὰ τὸ, ἐφοβοῦντο γάρ·
δι' ὃ δόξαν ἀναπέμπομεν τῷ ἀναστάν-
τι ἐκ νεκρῶν χριστῷ τῷ θεῷ ἡμῶν· ἅμα
τῷ ἀνάρχῳ πατρὶ· καὶ τῷ ζωο-
ποιῷ πνεύματι· νῦν καὶ ἀεὶ, καὶ εἰς
τοὺς αἰῶνας τῶν αἰώνων
ἀ
μήν :-

τέλος τοῦ κατὰ μάρκον ἁγίου εὐαγγελίου:-

Τὸ κατὰ μάρκον εὐαγγέλιον μετὰ δέκα ἔτη τῆς τοῦ
χριστοῦ ἀναλήψεως παρ' αὐτοῦ τοῦ μάρκου ἐγρά-
φη παρὰ τὸν πέτρον διδαχθέντος
αὐτό:-

> καὶ κλαίουσι. κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐ-
> τῆς, ἠπίστησαν· μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦ-
> σιν, ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ πορευομένοις εἰς ἀγρόν·
> κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐ-
> κείνοις ἐπίστευσαν· ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδε-
> κα, ἐφανερώθη καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκλη-
> ροκαρδίαν ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον ἐκ
> νεκρῶν οὐκ ἐπίστευσαν· καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἰ-
> ς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ
> κτίσει· ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται· ὁ δὲ ἀ-
> πιστήσας κατακριθήσεται· σημεῖα δὲ τοῖς πιστεύσασι
> ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκ-
> βαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θα-
> νάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ· ἐπὶ ἀρρώστους χεῖ-
> ρας ἐπιθήσουσι καὶ καλῶς ἕξουσιν· ὁ μὲν οὖν κύριος μετὰ τὸ
> λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν· καὶ ἐκάθισεν ἐκ
> δεξιῶν τοῦ θεοῦ· ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ·
> τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ
> τῶν ἐπακολουθούντων σημείων· ἀμήν:—

Ἐπειδὴ δὲ ἔν τισι τῶν ἀντιγράφων πρόσκειται τῷ κατὰ Μάρ-
κον εὐαγγελίῳ· ἀναστὰς δὲ τῇ μιᾷ τοῦ σαββάτου πρωΐ, ἐ-
φάνη Μαρίᾳ τῇ Μαγδαληνῇ καὶ τὰ ἑξῆς· δοκεῖ δὲ τοῦτο δια-
φωνεῖν τῷ ἀπὸ τοῦ Ματθαίου εἰρημένῳ, ἐροῦμεν ὡς δυνα-
τὸν εἰ ποιεῖν· ὅτι μὲν νοθεύεται τὸ παρὰ Μάρκῳ ἐν τισὶ φερό-
μενον· πολλὴν γὰρ ἀνάγκην δόξομεν ἐπὶ τὸ ἕτοιμον καταφεύγειν·
ὡς ἂν ἀναγινωσκόμεθα· ἀναστὰς δέ· καὶ ὑποστίξαντες,
ἐπάγοιμεν· πρωῒ τῇ μιᾷ τοῦ σαββάτου ἐφάνη Μαρίᾳ τῇ
Μαγδαληνῇ· ἵνα τὸ μὲν ἀναστὰς παραπέμψωμεν ἐπὶ τὴν
παρὰ τῷ Ματθαίῳ ὀψὲ σαββάτων· τότε γὰρ ἐγηγέρθαι
αὐτὸν φῶμεν· τὸ δὲ ἑξῆς ἑτέρας ὂν διανοίας ὑποστατικὸν
συνάψωμεν τοῖς ἐπιλεγομένοις· τὸ μὲν γὰρ ὀψὲ σαββάτων τὸν
κατὰ Ματθαῖον ἐγηγερμένον ἱστορεῖ· πρωῒ δὲ [illegible]
Μαρίαν τὴν Μαγδαληνήν· τοῦτο οὖν ἐδήλωσε καὶ ὁ [illegible]
[illegible] καὶ αὐτὸς τῇ μιᾷ τῶν σαββάτων ὦφθαι αὐτὸν τῇ
Μαγδαληνῇ· μαρτυρήσας ὡς παριστάναι ἐν τούτοις

τοῦ ἐν ἁγίοις Τίτου ἐπισκόπου Βόστρων, καὶ ἄλλων τινῶν
πατέρων ἁγίων, ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν ἅγιον εὐαγγέλιον:

Ἰστέον ὅτι τὸ κατὰ Λουκᾶν ἅγιον εὐαγγέλιον, ὑπὸ Παύλου ὑπηγορεύθη ἐν Ῥώμῃ· ἀπὸ δὲ ἱερατικοῦ χαρακτῆρος τὴν ἀρχήν, ἀπὸ Ζαχαρίου τοῦ ἱερέως θυμιῶντος ἤρξατο· καὶ τοῖς μὲν ἄλλοις ἀπήρτισται ἐξ αὐτῶν ἀρχομένοις ἔστιν ἰδεῖν τῶν πραγμάτων· τὸν δὲ μακάριον Λουκᾶν, ἐν προοιμίοις ἐπαγγελλόμενον· καὶ συνημμένην ἑαυτοῦ πραγματευόμενον· ὅτι δὴ μέλλοι μετ' ἀσφαλείας ἐκτίθεσθαι· καὶ γάρ φησιν·

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι κράτιστε Θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων, τὴν ἀσφάλειαν·

Τὸ ἐπεχείρησαν εἶπεν, ὅτι χωρὶς χαρίσματος ἦλθον πρὸς τὴν ἀναγραφὴν τῶν εὐαγγελίων τινές· χρημονῶν· Ματθαῖος γὰρ οὐκ ἐπεχείρησεν· ἀλλ' ἔγραψεν ἀπὸ ἁγίου πνεύματος· ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης· παραπλησίως δὲ καὶ Λουκᾶς· τὸ μέντοι ἐπιγεγραμμένον κατ' Αἰγυπτίους εὐαγγέλιον· καὶ τὸ ἐπιγεγραμμένον τῶν δώδεκα· οἱ συγγράψαντες ἐπεχείρησαν· πολλὰ δὲ καὶ ἕτερα φέρονται· ἀλλ' ἅπερ ἐγκρίνει ἡ τοῦ θεοῦ ἐκκλησία προσδέχεται· πεπληροφορημένων δὲ λέγει, οὐχ ὡς ἁπλῶς τῶν λόγων παραδεδομένων· οὐδὲ ψιλῶν τῇ πίστει παρειλημμένων· ἀλλ' αὐτοῖς περὶ ὧν ἐν πληροφορίᾳ γενομένοις καὶ τελείᾳ καταλήψει αὐτοῖς παρηκολουθηκόσι τοῖς ἔργοις· πραγμάτων δὲ ἔφη, ἐπειδὴ οὐ κατὰ φαντασίαν κατ' αὐτοὺς τοὺς αἱρετικοὺς [illegible] ἐθαυματούργησεν ὁ κύριος Ἰησοῦς, τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν· ἀλλ' αὐτῇ χρώμενος ἀληθείᾳ, ἀληθῶς ἐνήργησε τὰ πράγματα·

εἰς γένν(ησιν) τοῦ ἁγίου Ἰω(άννου) τοῦ προδρόμου

καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη ζαχαρίας ἰδών. Καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος μὴ φοβοῦ ζαχαρία. διότι εἰσηκούσθη ἡ δέησίς σου. καὶ ἡ γυνή σου ἐλισάβετ γεννήσει υἱόν σοι. καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ, ἰωάννην. καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις. καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον κυρίου. καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ. καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. Καὶ πολλοὺς τῶν υἱῶν ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν. καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει ἠλίου. ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα. καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων. ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον.

Μνημονεύει τῶν ἡμερῶν ἡρώδου. ἵνα μὴ διαφύγῃ τὸν καιρὸν τῶν πραγμάτων ἡ ἱστορία. βασιλέα δὲ τῆς ἰουδαίας καλεῖ. ἐπεὶ τότε πρῶτον ἰουδαίοις ἡγεμόνευμα. προφῆ ἡ παρεδίδου. ὁ μὲν οὖν ζητεῖ τὴν πατρίαν ἰωάννου τοῦ προδρόμου. ἵνα τὴν εὐαγγελικὴν ἱστορίαν ἀρξάμενος ἀπ' αὐτοῦ. οὕτως ἐπὶ τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν πορεύηται. διὰ τοῦτο γὰρ καὶ ἐξῆς ἐπιμελῶς ἔθηκεν. ἵνα μὴ δεῖν ποιλίτῃ τῶν ἐξῆς γεγενημένων. ὅθεν καὶ πρὸς τὴν ἱστορίαν. τὰ κατὰ τὸν ἰωάννην ποιεῖται. ἵνα τὸν πρόδρομον παραστήσας. σαφηνίσῃ τὸν κηρυττόμενον. δηλοῖ δὲ τὸ ἐξ ἐφημερίας ἀβιά. ὅτι τῶν δύο ὄντων ἱερέων ἐκ διαδοχῆς τὴν λειτουργίαν ποιουμένων. ὁ ἀβιὰ οὕτω λεγόμενος. καὶ ὁ ζαχαρίας. ἐπεὶ τῶν ἱερατευόντων ἐπὶ τὴν λειτουργίαν ὁ ἀβιά. κατὰ τὴν ἐκείνου ἐφημερίαν ἐλειτούργει ὁ ζαχαρίας. ἐφημερίαν δὲ χρόνον ἕν. οὐ τὸ πρὸς ἡμέραν παραμένειν καὶ λειτουργεῖν ἐν τῷ ἱερῷ. ἀλλ' αὐτὸ πρὸς ἑβδομάδα. δηλοῦν δὲ θέλων ὅτι ἑκατέρωθεν μεμαρτυρημένος ἐτύγχανεν ἱερεὺς ὁ ζαχαρίας. φησί· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρών. τὸ μὲν δὲ δίκαιοι ἐνώπιον τοῦ θεοῦ, ἔπαινός ἐστι τέλειος. αὐτὸς γὰρ ἐπίσταται μόνος τὰ ἐν βάθει τῶν καρδιῶν. καὶ γὰρ εὐδοκιμοῦν κατὰ μὲν τὸ φαινόμενον οἱ ἀπ' ἀρχῆς δὲ ἦσαν. ἵνα τὸ ἀξιόπιστον τῆς συγγραφῆς ἑαυτοῦ, πραγματεύηται· οὐδὲ γὰρ ἀπὸ τῶν ἐν μέσῳ φησὶ παρηκολουθηκότων παρείληφεν· οὐδὲ ἐκ διαδοχῆς μαθητῶν τῶν κληθέντων μαθεῖν τὰ πράγματα· ἀλλ' ἐκ τῶν ἀπ' ἀρχῆς αὐτοπτῶν καὶ ὑπηρετῶν γενομένων τοῦ λόγου· παράγει δὲ τοὺς μάρτυρας πρὸς ἀξίωσιν τῆς οἰκείας εὐαγγελικῆς ἱστορίας. αὐτόπτας δὲ καὶ ὑπηρέτας καλεῖ τοῦ λόγου, τοὺς ἁγίους ἀποστόλους· δι' ὧν αὐτὸν δὲ ἐκάλεσεν τὸ ὑπηρέτας τοῦ λόγου· ἤτοι τοῦ διδασκαλικοῦ λόγου ὃν παρεδίδουν ὕστερον· ἤτε καὶ αὐτὸν τὸν θεὸν λόγον· διὰ δὲ τοῦ παρέδοσαν, τὸ ἄφθονον ἐκείνων κηρύττει· ὅτι δωρεὰν λαβόντες, δωρεὰν παρέδοσαν ἡμῖν· τὸ δὲ ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν, δηλοῖ ὅτι πολὺν κάματον καὶ κίνδυνον [illegible] μι· ἢ παρηκολουθηκὼς πᾶσιν ἀκριβῶς. ἔμελλον οὕτω παραδιδόναι τηλικαῦτα πράγματα· γράψαι δέ, οὐ ψιλὴν ἀκοὴν φησὶν παραλαβών· ἀλλ' ἀκριβῶς παρηκολουθηκὼς ἄνωθεν πᾶσιν· δύναμιν εἰ δὲ τὸν μακάριον λουκᾶν ὅστις ἀπόστολος παῦλος λέγων· οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ· θεόφιλον δὲ ὀνομάζει πρὸς ὅντινα προσφωνεῖ τὸ εὐαγγέλιον· ἄνδρα ἐπίσημον ἴσως καὶ ὄντως θεόφιλον φερωνύμως καλούμενον· ἵνα ἐπιγινώσκῃ περὶ ὧν κατηχήθη λόγων τὴν ἀσφάλειαν· ἐπεὶ διὰ γὰρ ἀκοῆς παρείληφε ταῦτα, ἀσφαλέστερον αὐτὸν διὰ γραμμάτων ἐν τῇ πίστει διατηρεῖ·

Ἐγένετο ἐν ταῖς ἡμέραις ἡρώδου τοῦ βασιλέως τῆς ἰουδαίας. ἱερεύς τις ὀνόματι ζαχαρίας· ἐξ ἐφημερίας ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρών· καὶ τὸ ὄνομα αὐτῆς ἐλισάβετ· ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου. ἄμεμπτοι· καὶ οὐκ ἦν αὐτοῖς τέκνον· καθότι ἡ ἐλισάβετ ἦν στεῖρα· καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν· ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν, ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ· κατὰ τὸ ἔθος τῆς ἱερατείας ἔλαχε τοῦ θυμιᾶσαι· εἰσελθὼν εἰς τὸν ναὸν τοῦ κυρίου· καὶ ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. πάντας ἐφώτισεν εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας· τοῦτο γὰρ αὐτοῦ τὸ ἔργον ἐστί· τὸ δὲ προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. τουτέστιν· ὁ Ἠλίας, τῆς δευτέρας τοῦ κυρίου παρουσίας ἔσται πρόδρομος· καθὼς φησὶν ὁ προφήτης· ὅτι πέμψω ὑμῖν Ἠλίαν τὸν θεσβίτην· πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· οὕτως οὖν καὶ ὁ Ἰωάννης, τῆς πρώτης γέγονε πρόδρομος· ἐν πνεύματι μέν, ὅτι ὥσπερ ἐνῆν τοῦ προφήτου Ἠλίου ἡ τοῦ παναγίου πνεύματος χάρις, οὕτω καὶ ἐστὶ τοῦ προδρόμου· ἐν δυνάμει δέ, διὰ τὸ μέγεθος τῆς πληρουμένης παρ' αὐτῶν διακονίας· τί δέ ἐστι τὸ ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα τοῦ Ἰουδαίων λαοῦ. οἱ ἅγιοι ἀπόστολοι ἐπεὶ ἐξ αὐτῶν γὰρ κατήγοντο κατὰ τὴν τοῦ αἵματος συγγένειαν· τοιαύτη οὖν ἐστί φησιν ἡ τοῦ Ἰωάννου διακονία· ὡς ἐπιστρέψαι τὰς τῶν Ἰουδαίων καρδίας, εἰς τὴν τῶν ἀποστόλων διδασκαλίαν· ὁ γὰρ περὶ Χριστοῦ τοιαῦτα μαρτυρήσας. συνεστήσατο τοὺς Χριστοῦ μαθητάς. τῇ τοιαύτῃ μαρτυρίᾳ· καὶ τὸ ἀξιόπιστον αὐτοῖς ἐκ τούτου κατεσκεύασε· τὸ δὲ ἀπειθεῖς ἐν φρονήσει δικαίων δηλοῖ. ὅτι ἀπειθεῖς μὲν ἐξ ἀρχῆς ἦσαν οἱ Ἰουδαῖοι· φρόνησις δὲ δικαίων. ἡ ἐν τοῖς ἀποστόλοις [illegible]· τὸ δὲ ἑτοιμάσαι κυρίῳ λαὸν κατεσκευασμένον. ἀντὶ τοῦ προευτρεπίσαι τῷ Χριστῷ ἐρχομένῳ· πρὸ τοῦ φανερῶσαι ἑαυτὸν ἐν τῷ παρεσκευάσθαι· ὁ προκατεσκευασμένον λαόν· πολλὰ γὰρ θαυμαστὰ προεξειπὼν περὶ τοῦ κυρίου ὁ πρόδρομος. τὴν εἰς αὐτὸν πίστιν τοῦ λαοῦ προκατεβάλετο·

Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο· ἐγὼ γάρ εἰμι πρεσβύτης· καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς· Καὶ ἀποκριθεὶς ὁ ἄγγελος, εἶπεν αὐτῷ. ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ· καὶ εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι· ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς ἐμοῖς λόγοις· οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν· καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ· ἐξελθὼν δέ·

δίκαιον εἶναι τινὰ ἐνώπιον τῶν ἀνθρώπων· κατὰ δὲ τὸ κρυπτὸν τῆς
διανοίας, μὴ εἶναι τοιοῦτον· ἐμφανίζοντας κεκτημένον λογισ-
μοὺς πονηρούς· τίμιος δὲ ἦν ἐνώπιον προσέχεται τοῖς ἐν τῷ λαῷ·
Καὶ τοῖς δικαιώμασι τοῦ κυρίου τὸ ἄμεμπτον· ἐπειδὴ δὲ [illegible] ἐνώπιον τοῦ
[illegible] δὲ ὅτι ῥύπον κενοδοξίας ἢ ἀνθρωπαρεσκείας· ἦν ἐνώπιον
τίμιος τοιοῦτος. οὐκ ἦν [illegible]· [illegible] δὲ [illegible] ὅτι ἦν τοῦ [illegible]
[illegible] παράδοξος. ἀλλ᾽ ἦν παρ᾽ ἑαυτῷ [illegible] γινόμενος·
καὶ ὅτι τῆς φύσεως ἐστὶ δημιουργὸς ὁ ἐνώπιον [illegible]. ἐπεὶ [illegible] λέγει·
Καὶ οὐκ ἦν αὐτοῖς τέκνον καὶ τὰ ἑξῆς· ἐνώπιον δὲ οὐ πᾶσι φαίνεται
ὁ θεός· ἀλλ᾽ οἱ ἄγγελοι αὐτοῦ· ἢ μὴν τοῖς καθαροῖς τῇ καρδίᾳ· ἦν δὲ
ὁ Ζαχαρίας τοιοῦτος. διὰ τοῦτο ὤφθη αὐτῷ ἄγγελος κυρίου· τοῦ
θυσιαστηρίου δὲ τοῦ θυμιάματος [illegible]· διὰ τὸ ἕτερον εἶναι θυσια-
στήριον χαλκοῦν τῶν καρπωμάτων. ἐταράχθη δὲ Ζαχαρίας
ἰδών· καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν· ξενίζουσα [illegible] ἀν-
θρώπου φαινομένη. οὐκ ἔστιν [illegible]· ἀλλ᾽ ὅμως [illegible]
[illegible] ἀπὸ τῆς ταραχῆς τὸν Ζαχαρίαν ὁ ἄγγελος, [illegible]·
μὴ φοβοῦ Ζαχαρία· [illegible] αὐτόν· ποία δὲ ἀκολουθί-
α. ὅτι ὑπὲρ τοῦ λαοῦ παρακαλοῦντος τοῦ Ζαχαρίου
ἐπῆγεν πρὸς αὐτὸν τὸν ἄγγελον· μὴ φοβοῦ· εἰσηκούσθη γὰρ ἡ δέησίς
σου· καὶ τοῦ εἰσακουσθῆναι ἀπόδειξιν ποιεῖται. τὸ τεχθήσεσθαι αὐτῷ
[illegible] τὸν Ἰωάννην· καὶ μάλα εἰκότως· ἐπεὶ δὴ γὰρ ὑπὲρ
ἁμαρτημάτων τοῦ λαοῦ παρεκάλει· ἔμελλε δὲ τίκτεσθαι ὁ μηνύ-
σων τό· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ· ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου·
εἰκότως φησὶν ἡ [illegible] ἡ δέησίς σου [illegible]· [illegible]
τὸ μέτρον τῆς [illegible]. φησίν· ἔσται γὰρ μέγας ἐνώπιον τοῦ κυρίου·
[illegible] ἐνώπιον κυρίου λέγει· [illegible]
[illegible] αὐτὸν ἔρχεται· δίκαιοι ἐνώπιον τοῦ θεοῦ· [illegible]
[illegible] τὸ μέγεθος μὲν ἐνώπιον [illegible] ἄμεμπτον· [illegible]
ἐπλήσθη δὲ πνεύματος ἁγίου ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ [illegible] Ἰωάννης
ἡνίκα [illegible] τὴν μητέρα τοῦ κυρίου πρὸς τὴν Ἐλισάβετ [illegible]
[illegible] Ἰωάννης. πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπι-
στρέψει πρὸς κύριον τὸν θεὸν αὐτῶν· κατ᾽ αὐτὴν τοῦ ἀγγέλου φωνήν·

> καὶ δώσει αὐτῷ κ(ύριο)ς ὁ θ(εὸ)ς τὸν θρόνον Δα(υὶ)δ τοῦ π(ατ)ρ(ὸ)ς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω· καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ· καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται υἱὸς θ(εο)ῦ· καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενίς σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ θεῷ πᾶν ῥῆμα· εἶπε δὲ Μαριάμ· ἰδοὺ ἡ δούλη κ(υρίο)υ· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος·

Μηνὶ τῷ ἕκτῳ, λέγει, τοῦ τῆς συλλήψεως Ἰω(άννου)· τὸ δὲ μεμνηστευμένην ἀνδρὶ ἐξ οἴκου καὶ πατριᾶς Δα(υὶ)δ. περὶ τῆς παρθένου διεσάφησεν ἡμῖν θεῖος ὤν ὁ εὐαγγελιστής· δηλώσας ἡμῖν λόγῳ ὅτι καὶ αὐτὴ ἡ παναμώμος, ἐκ γένους ἦν τοῦ Δα(υὶ)δ· ὅθεν ὁ μνηστευόμενος αὐτὴν Ἰωσήφ. οὐ δὲ γὰρ ἦν δυνατὸν κατὰ τὸν νόμον ἀπὸ φυλῆς ἑτέρας μνηστεύεσθαι γυναῖκα. ἐπεὶ δὲ εἶπεν ὁ θ(εὸ)ς τῇ Εὔᾳ ἐν λύπαις τέξῃ τέκνα· λύει τὴν λύπην ἡ χαρά· νῦν ὁ ἄγγελός φησι πρὸς τὴν παρθένον· χαῖρε κεχαριτωμένη ὁ κ(ύριο)ς μετὰ σοῦ· τὸ δὲ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος, τοῦτο ἐμφαίνει· ὅτι πρὸς ἑαυτὴν ἐλογίζετο· μή ποτε ἄρα μήτις ἀπατηλὸς ὡς ἐξ ἀνδρὸς πρὸς κόρην, ἢ θεῖος. ἐπειδὴ δὲ καὶ ἐθαύμαζεν ἡ μὴ συνιεῖσα τὸν ἀσπασμόν, τὸ ὁ κ(ύριο)ς μετὰ σοῦ· διὰ τὸ μὴ ἔχειν δυνατὸν θορυβουμένην καὶ φοβουμένην ἀκριβῶς ἐπακοῦσαι τὸ ἀσπάσμα, παρωθεῖ αὐτῆς λέγων τὸν φόβον ὁ ἄγγελος φάσκων· μὴ φοβοῦ Μαριάμ· ἵνα ἐν ἀταραξίᾳ γενομένη δέξηται τὴν ἑξῆς ἀπόκρισιν. τὸ μὲν οὖν εἰπεῖν τὸν ἄγγελον πρὸς αὐτὴν χαῖρε, κοινὸν ἦν· ἐροῦμεν γὰρ χαίρειν πρὸς ἀλλήλους· τὸ δὲ ἐπὶ τῇ συλλήψει, οὐκέτι κοινὸν ἦν· ἀλλ' ἰδίως ἐπηγγείλατο· τοῦτο δὲ ἔστιν· ἵνα ἀποτέξῃ τὸν κ(ύριο)ν ἔξω τοῦ τῆς παρθενικῆς μηδαμῶς λύσεως· καὶ ἐκ τῆς ὁμογενοῦς οὐσίας τοῦ ἀρχεγόνου ἡμῶν. Δικαίως δὲ ἐκλήθη Ἰ(ησοῦ)ς ὁ ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· ~~ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς·~~ καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς καὶ διέμενε κωφός· καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· μετὰ δὲ ταύτας τὰς ἡμέρας, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε λέγουσα· ὅτι οὕτως μοι πεποίηκεν ὁ κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις·

Ἐπειδὴ παρὰ ἀπιστήσας ὁ Ζαχαρίας κατὰ τὴν γλώσσῃ ἥμαρτε τοῦτο φιμοῦν. ὅθεν τιμᾶται κωφότητι καὶ ἀφωνίᾳ· ὡς ἀπειθὴς τοῦ ἀγγέλου λέγοντος πρὸς αὐτόν· ὅπου γε διὰ [illegible] ἀγγέλου παρα[illegible] πιθῶ· καὶ οὐ πιστεύσας τῷ ἀποφθέγματι αὐτοῦ· οὐδὲ λογίζεται τὴν τοῦ λέγοντος δύναμιν· ἀλλ' αὐτὴν τὴν τοῦ πράγματος ἀδυναμίαν. δι' αὐτὴν τὴν ἀπιστοῦσαν ταύτην φωνήν. ἀφαιρεθεὶς τῆς φωνῆς· ἕως ἂν τοῦ πράγματος πληρωθέντος, πιστεύσῃ καὶ τὸ ὅσον ἀπίστησε· καὶ τὸ δυνατὸν τοῦ θεοῦ· διὰ δὲ τοιούτου λόγου σημαθῆ τὸν λαὸν τὴν αἰτίαν τῆς σιωπῆς. ταύτην διανεύων ὁ Ζαχαρίας ἐδήλου· καὶ τοῦτό ἐστιν ὅτι καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς· καὶ διέμενε κωφός· ἀλλὰ ταῦτα Ἐλισάβετ διὰ τὸ συνήθεις συλλαμβάνειν· σώφρων γὰρ ἦν ἡ γυνή. ὄνειδος δὲ ὑπ' ἀνθρώπων τοῦτο λέγει· ὅτι παρὰ τοῖς χρόνοις ἐκείνοις [illegible] ἡ ἀτεκνία. ἦν τοῦτο ἡ μακαρία [illegible]· ὡς περ πολύτεκνος καὶ εὐλογία, ἡ πολυτεκνία.

τῇ κε΄ τοῦ μα
εὐαγγελισμοῦ

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ, ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ θεοῦ· εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέτ· πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ· ἐξ οἴκου Δαυΐδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ· καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτήν, εἶπε· χαῖρε κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν· ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο. ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος· καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί· καὶ τέξῃ υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας· καὶ υἱὸς ὑψίστου κληθήσεται·

μένος ὡς ὁ ἀπόστολος διδάσκει· ὃ τοίνυν καὶ ὁ ἐπελεύσεται ἐπὶ σὲ
τὸ ὑπερεχόμενον. ἡ ἐνέργεια δὲ δημιουργικῶς καὶ φαινόμενον
τί δέ ἐστιν ἐπισκιάσει σοι. παραβολικῶς εἰσὶ καὶ ἐν διαφόροις ὃ περιχαρα-
κώσεως· ὁ κύκλος συνέχει· χρὴ δὲ σκοπεῖν πῶς ὅλην αὐτὴν
τὴν παναγίαν ὁ ζωοποιὸν τριάδα ἐξέφηνεν· ἅγιον πνεῦμα
καὶ δύναμιν ὑψίστου· οὐ συγγνώμων ὡς καὶ δὲ τοῦ ζαχαρίου ὁ ἄγγελος
ἀπιστήσαντος καίτοι δικαίου ὄντος· διότι εἶχεν ἐλλειμμός ὑπόδειγμα καὶ
ἄλλας πρὸ αὐτοῦ στείρας γενομένας καὶ τεκούσας ὡς δηλοῦ-
σιν αἱ θεῖαι γραφαί· φησὶ δὲ καὶ τὸ γεννώμενον πρὸς τὴν
παρθένον ὁ ἄγγελος· ἵνα μὴ ἔξωθεν ὑπονοήσῃ ἀγγελλόμενον αὐτῇ
μόνον μάθῃ· ὃ τὸ ἐκ σοῦ δὲ ἐπιλέγων, ἵνα ἐξ αὐτῆς φύσεως
γεννώμενον ἔμαθε παρθένου· υἱὸν δὲ κληθησόμενον. οὐχ ὡς
ὁμοίως ἔχοντα τὸν υἱὸν τοῦ θεοῦ· ὃ ἐκ μόνης χάριτος θησόμενον·
ἀλλ' ὡς ὄντα κατὰ φύσιν υἱόν, τῷ τὸν αὐτὸν υἱὸν ὑπάρχειν θεοῦ·
καὶ ὁμοούσιον· συγγενὴ δὲ τῆς παναγίας παρθένου τὴν Ἐλισά-
βετ φησὶν ὁ ἄγγελος. ἔτι ὡς ἐξ ἑνὸς προπάτορος τοῦ Ἰακὼβ κ
παρεχούσας. ἔτι δι' αὐτὸ πρὸ τῆς νομοθεσίας λαβεῖν [illegible] τὸν
Ἀαρὼν· ἐκ τῆς τοῦ Λευῒ φυλῆς ὄντα· γυναῖκα τὴν Ἐλισάβετ
θυγατέρα Ἀμιναδὰβ τοῦ Ἀμιναδάβ· τὴν ἀδελφὴν Ναασσών, ἐκ
τῆς τοῦ Ἰούδα φυλῆς ὑπάρχοντος· ὃ γὰρ ἐν ταύταις συνήφθη
ἡ βασιλικὴ τοῦ Ἰούδα φυλή, ἐξ ἧς ἦν ἡ παρθένος. τῇ ἱερατικῇ
τοῦ Λευῒ φυλῇ, ἐξ ἧς ὑπῆρχεν ἡ Ἐλισάβετ. διὸ καὶ παραδόξ-
ως ἡ προσφώνησις τοῦ παναγίου πνεύματος οἰκονομουμένως χαίρειν. ὃ ταύτην
τὴν ζαχαρίου γυναῖκα δι' ἀγγέλου προαναγγέλλεσθαι· ὡς πρὸ
καὶ τὴν τοῦ σωτῆρος· ὅπως καὶ διὰ τοῦ ὁμοιώματος ὑπὲρ τοῦτο μὴ
θαυμάζειν, ὡς ἐξ ἐκείνης τῆς Ἐλισάβετ ἦν πρὸς τὴν παρθένον
καὶ πρὸς τὴν μητέρα τοῦ προδρόμου δι' ἀγγέλου ὑπερέχουσα συγγενής·
ἡ ποιηθεῖσα δὲ ἡ παναγία παρθένος· ἰδοὺ ἡ δούλη κυρίου· γένοιτό μοι κατὰ
τὸ ῥῆμά σου, τοῦτ' ἔστιν ἀλλ' ἄλλως· πάντως ἐξ ἐμοῦ γραφόμενος· ὁ καινοῦ
λείτου ὡς ἐν χάρτῃ ἐγγραφέτω· ποιεῖτω τὸ θέλημα τοῦ πνεύματος κυρίου· δε-
ξάμενος δὲ ὁ ἄγγελος τῆς παναγίας παρθένου τὴν ὁμολογίαν.
τὴν [illegible] ἀπῆλθεν ἀπ' αὐτῆς:

μυστηρίου μέλλοντος ἐλθεῖν· τὸ σπειρόμενον τοῦτο εἰς τὴν ἑλλάδα γλῶσ-
σαν μεταβαλλόμενον, θεοῦ λέγεται σωτηρία καὶ ἴασις· τὸ δὲ ἐμμανου-
ὴλ, ὡς δεσπότης καὶ δημιουργὸς δηλοῖ· ὁ γὰρ χριστὸς ὁ ἰωάννης· τὸ
γὰρ εὐαγγελιζόμενον ὅτι υἱὸς ὑψίστου κληθήσεται. τοῦτο σημαίνει·
ἐδείκνυε γὰρ μᾶλλον ὡς πατρὸς υἱὸς ὑψίστου ὑπάρχει· ὁ πρὸ τῶν
αἰώνων ἐκ τοῦ πατρὸς γεννηθεὶς ὡς αὐτοῦ· πῶς δὲ υἱὸς ὑψίστου
κληθήσεται· ὅπως ὥσπερ φύσει ἀληθινὸς θεοῦ ὁ υἱός. ὅθεν καὶ
ἐν δωρεᾶς μέρει διὰ τὸ ἀνθρώπινον τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄ-
νομα· τουτέστι τὸ κεκλῆσθαι θεόν· ὡς ὑπερῷον κατὰ πάσης τῆς
κτίσεως ὡς δημιουργὸς καὶ ποιητής· ἐκ δωρεᾶς λαμβάνει πα-
> τρικῆς τὰς κληρονομίας τὰ ἔθνη· διὰ τὸ ἀνθρώπινον· αἴτη-
> σαι γάρ φησι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου·
οὕτως ὁ φύσει καὶ ἀληθῶς υἱός· ἐκ τῆς οὐσίας ἐκλάμψας τοῦ
πατρὸς πρὸ πάντων τῶν αἰώνων. υἱὸς ὑψίστου καλεῖται
διὰ τὸ ἀνθρώπινον· καὶ τὸ δώσει δὲ, τὴν οἰκονομίαν σημαί-
νει· θρόνον δὲ οὐ καὶ αἰσθητὸν λέγει· ἀλλ' αὐτὸν μὴν δὴ θεὸν θρόνον
σαι κηρυγχθέντα· τὸν καθ' ὅλης τῆς οἰκουμένης φωτὸς δίκην
ἐκλάμψαντα· καὶ ψυχὰς μορφὰς καταυγάζοντα διὰ τῆς
ἐνθέου διδασκαλίας· οἶκον δὲ ἰακώβ, μὴ τὸ ἰουδαίων ἔθνος
μόνον νομίσωμεν· ἀλλὰ καὶ πάντας τοὺς διὰ τῆς πίστεως
τοῦ πατρὸς ἰακὼβ ἐξ ἁπάντων τῶν ἐθνῶν. καὶ τὴν τῶν πατέρων υἱοθεσίαν
εἰσποιουμένους· βασιλείαν δὲ τέλος οὐκ ἔχουσαν· οὐ δὴ μόνον
ἐστι τὸ βασιλεύειν· ἀλλὰ μὴν τοῦ μόνου δημιουργοῦ καὶ δεσπότου
τῶν ὅλων θεοῦ· ὃς πάντοτε βασιλεύσει αἰώνιος· ὁ δι' ἡμᾶς
ἱκανὴν δὲ ἡμῶν σωτηρίαν αὐτὸς γεννηθῆναι καταδεξάμενος· οὐχ ὡς
ἀπιστήσασα δὲ ἡ παναγία θεοτόκος καὶ παρθένος ἀμόλυντος
τό. πῶς ἔσται τοῦτο ἐπεὶ ἄνδρα οὐ γινώσκω. λέγει ἀλλὰ ζητοῦσα
φησί. τὸν τρόπον ἐπιζητεῖ τοῦ σημαινομένου τοῦ λεγομένου πράγμα-
τος· οὐδὲ γὰρ τοιοῦτόν τι πρότερον γέγονεν· οὐδὲ μὴν ὕστερον
γενήσεται· λέγουσα μὴν τὸ παρθένον τεκεῖν· ὅθεν ὁ συγγνώμων ἄγ-
γελος· ὁ τὸν τρόπον ἑρμηνεύει λέγων· πνεῦμα ἅγιον ἐπελεύ-
σεται ἐπὶ σέ· καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· χριστὸς δὲ θεοῦ δύ-

λισσάμενα ῥήματα· διὰ τὸ κυοφορούμενον ὑπ' αὐτῆς βρέφος· εὐ-
λογημένη σὺ ἐν γυναιξὶ λέγουσα· ὁ εὐλογημένος ὁ καρπὸς
τῆς κοιλίας σου· οὐδὲ μία γάρ τοι αὐτῆς χάριτος καὶ μῶμος· ὑ-
πέχουσιν· οὔτε περιβάλλεσθαι δύναται· καρπὸν δὲ κοιλίας εἶπε, κα-
τὰ τὴν παρὰ τοῦ θεοῦ πρὸς τὸν Δαβὶδ ἐπαγγελίαν, τὴν λέγουσαν·
ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου· καλῶς
δὲ καρπὸν κοιλίας τῆς παναγίας παρθένου ἐξελισσόμενον ὀνό-
μασε· διὰ τὸ μὴ ἐξ ἀνδρὸς σπέρματος· ἀλλ' ἐκ μόνης τῆς παναγίας
θεοτόκου Μαρίας· ἐλθόντος πνεύματος ἐποικήσαντος ἐπ' αὐτήν· καὶ τῆς τοῦ ὑ-
ψίστου δυνάμεως ἐπισκιασάσης αὐτήν· οἱ γὰρ ἐκ τοῦ σπέρματος τῶν
τέκνων σπορᾶς ἔχοντες, ἐξ ὀσφύος καρποί· καθὼς καὶ πρὸς Δαβὶδ
ἐρρήθη· ἐκ καρποῦ τῆς κοιλίας σου, τουτέστιν οἱ πρόγονοι τῆς
παναγίας θεοτόκου καὶ αὐτή, ἐκ σπορᾶς ἀνθρωπίνης γεννηθέντες· συμ-
φωνεῖ δὲ τῇ Ἐλισάβετ καὶ ἡ τοῦ Ἰωάννου λέγουσα· ὅτι μήτηρ αὐτοῦ
ἀποφθεγγομένου· ὥσπερ γὰρ ὁ λιμὸς ἀναξίων ἑαυτὸν τῆς πρὸς
τὸν Χριστὸν παραγαγὼν ὡς εἴληφεν. οὕτως καὶ αὐτὴ ἀναξίαν ἑαυτὴν
τῆς παρουσίας τῆς παναγίας θεοτόκου· ὡσανεὶ λέγουσα· τίς ἐ-
μοὶ τοιοῦτον πέπρακται ἀγαθόν· ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλ-
θῃ πρός με· καλεῖ δὲ αὐτὴν μητέρα τὴν ἔτι κυοφοροῦσαν. προ-
φητικῷ λόγῳ προφθάνουσα τὴν κύησιν· καὶ μακαρίζει αὐτὴν
ὡς ἤδη πιστεύσασαν. ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις
αὐτῇ παρὰ κυρίου· ἡ ποῖα δὲ μεγαλύνει ἡ ψυχή μου τὸν κύριον ἡ πανα-
γία παρθένος. ὁ δείκνυσιν ἑαυτὴν καρπὸν δοξολογίας προσφέ-
ρουσαν· ὅσον γὰρ ὑπερέχουσα μεγαλοφυῶς [illegible] σώματι, το-
σοῦτον ὁ φθόγγος [illegible] τὴν ὑπὲρ ἑαυτῆς [illegible]
δόξα· διὸ καὶ ἠγαλλίασε τὸ πνεῦμά μου· τουτέστιν ἡ πνευματικὴ
ἡ δύναμις αὐτῆς ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου· σωτὴρ γάρ μου ἐστὶ καὶ θεός·
σωτηρίαν δι' ἐμοῦ τῷ κόσμῳ χαριζόμενος· σῶμα δὲ καὶ
ψυχήν. τὸ αὐτὸ λέγει· καὶ ἐπὶ πνεύματι ἀδελφικῶς ἐν ἐμοί·
οὐ δι' ἐμαυτῆς προσιοῦσα [illegible] τοῦτο· ταπεινὴν οὖσαν καὶ ἀναξίαν·
ἐμὲ εἰς οὕτως [illegible] μεγαλύνω· ἄρρητον οἰκονομί-
ας πληρωτήν· οὐχ ὡς μόνην ἐμὲ ἀξιώσας· ἀλλ' ἀεὶ καὶ πᾶσαν τῶν

Ἀναστᾶσα δὲ μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν
ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον
ζαχαρίου, καὶ ἠσπάσατο τὴν ἐλισάβετ· καὶ ἐγένετο ὡς ἤκου-
σεν ἡ ἐλισάβετ τὸν ἀσπασμὸν τῆς μαρίας. ἐσκίρτησε τὸ βρέ-
φος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ ἐλισάβετ.
Καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναι-
ξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι
τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με· ἰδοὺ γὰρ ὡς ἐγένετο
ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου. ἐσκίρτησε τὸ βρέ-
φος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου· καὶ μακαρία ἡ πιστεύσασα
ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου· καὶ
εἶπε μαριάμ· μεγαλύνει ἡ ψυχή μου τὸν κύριον· καὶ ἠγαλλίασε τὸ πνεῦ-
μά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν τα-
πείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαρι-
οῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός·
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φο-
βουμένοις αὐτόν· ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· διεσκόρ-
πισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν· καθεῖλε δυνά-
στας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλη-
σεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς· ἀντελά-
βετο ἰσραὴλ παιδὸς αὐτοῦ· μνησθῆναι ἐλέους καθὼς ἐλάλησε
πρὸς τοὺς πατέρας ἡμῶν. τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐ-
τοῦ εἰς τὸν αἰῶνα· ἔμεινε δὲ μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς.
Καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς·
Ἐπορεύθη εἰς τὴν ὀρεινὴν ἡ παναγία παρθένος πρὸς τὴν ἐλισά-
βετ· διότι ἐκεῖ ᾤκει ὁ ζαχαρίας· γνῶναι βουλομένη [illegible]
ὃ εἶπεν ὁ ἄγγελος πρὸς αὐτήν· ὅπερ δὲ οὐδενὶ [illegible]
των ἀπήρξατο. τοῦτο γέγονεν εἰς ἰωάννην· [illegible]
αὐτὸν τὴν χριστοῦ παρουσίαν· καὶ πρὸ [illegible] αὐτήν· διὸ οὐδὲ
πρότερον τοῦ ἁγίου πνεύματος ἐπλήσθη. ἕως οὐ [illegible]
κυοφοροῦσα τὸν δεσπότην χριστόν· τότε δὲ ἐπλήσθη. ἐσκίρτησε
τὴν μητέρα [illegible] τοῦ χάριτος· καὶ [illegible]

ἔσονται οἱ ἐκ τῶν ἐθνῶν πιστεύσαντες· ἑρμηνεύει δὲ τοῦ ἐλέους
αὐτοῦ καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν. τῷ ἀβρα-
ὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως τοῦ αἰῶνος· ἃς πατράσιν ἐγγυηθεὶς ὅπη
ἣν ἔφησε πρὸς αὐτόν· ὅτι ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου
πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ἐν δὲ τῷ εἰπεῖν ὅτι ἔμεινε μαριὰμ
σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς· ἐδήλωσεν ὅτι ἕως οὗ τίκτειν ἔ-
μελλεν ἐλισάβετ· ἦν γὰρ τῷ ἕκτῳ μηνὶ τῆς συλλήψεως αὐτῆς
ἀπεστάλη ὁ ἄγγελος πρὸς τὴν παναγίαν παρθένον· ἀπελθοῦ-
σα δὲ ἔμεινε σὺν αὐτῇ μῆνας τρεῖς. πρόδηλον ὅτι πληρωθέν-
τος τοῦ χρόνου τῆς συλλήψεως τῆς ἐλισάβετ· εἰς τὸν οἶκον αὐτῆς
ἡ παναγία παρθένος ὑπέστρεψε· διὰ τὸ μέλλειν συνέρχεσθαι
πλῆθος εἰς τὸν οἶκον ζαχαρίου ἐν τῇ τῆς ἐλισάβετ γεννήσει· αἰ-
δὼς γὰρ ἦν ἐν τῇ παναγίᾳ παρθένῳ. παρθενική· τίνος δὲ
χάριν ἔμεινεν. ἴσως καὶ τοῦ παραδόξου θεωρῆσαι τὴν ἔκβα-
σιν· ἢ διὰ τοὺς καθ᾽ αὐτὴν ἀπορούσας τι καὶ ἐκ τῶν τόπων:
Τῇ δὲ ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν·
καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς· ὅτι ἐμεγά-
λυνε κς τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς· καὶ συνέχαιρον αὐτῇ· καὶ
ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ. ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐ-
κάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ ζαχαρίαν· καὶ ἀ-
ποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν· οὐχί· ἀλλὰ κληθήσεται ἰωάννης·
καὶ εἶπον πρὸς αὐτήν· ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς κα-
λεῖται τῷ ὀνόματι τούτῳ· ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν
θέλοι καλεῖσθαι αὐτόν· καὶ αἰτήσας πινακίδιον, ἔγραψε λέγων·
ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες· ἀνεῴ-
χθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα· καὶ ἐλύθη ὁ δεσμὸς τῆς
γλώσσης αὐτοῦ· καὶ ἐλάλει εὐλογῶν τὸν θν· καὶ ἐγένετο ἐπὶ πάν-
τας φόβος τοὺς περιοίκους αὐτοῦ· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς
ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο
πάντες οἱ ἀκούσαντες ἐν ταῖς καρδίαις αὐτῶν λέγοντες· τί ἄ-
ρα τὸ παιδίον τοῦτο ἔσται· καὶ χεὶρ κυ ἦν μετ᾽ αὐτοῦ· καὶ ζαχαρί-
ας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη πνς ἁγίου· καὶ προεφήτευσε λέγων·

ἀπεφαίνετο ἡ μακαριοῦσί με αἱ γενεαί· καὶ γὰρ μεγαλεῖα
ἐποίησέ μοι ὁ δυνατός· ὅτι παρθένος οὖσα συνέλαβον· ὑπὲρ
νικᾶται τὴν φύσιν νεύματι αὐτοῦ· καὶ ἀξιουμένη ἄνευ ἀν-
δρός, οὐχ ἁπλῶς γέγονα μήτηρ· ἀλλὰ τοῦ μονογενοῦς υἱοῦ τοῦ
θεοῦ, καὶ θεοῦ· διὰ δὲ τὸ μὴ ἀπιστηθῆναι τὸ μέγα τοῦ τοιούτου μυστηρίου,
ἐπὶ τὸν δυνατόν· ὡσανεὶ ἔλεγεν· ὅτι δυνατὸς ἐστὶν ὁ τοῦτο ἐνεργήσας
θεός· ἅγιον δὲ ἐστὶ τὸ ὄνομα αὐτοῦ. δηλοῦσα ὅτι οὐδὲν παρα-
χραίνεται ἀπὸ γυναικὸς συλλαμβανόμενος ὁ τῶν ἁπάντων δη-
μιουργός· καὶ τὸ ἔλεος δὲ αὐτοῦ ἀπὸ γενεᾶν καὶ γενεὰν φυλάττει.
ὅτι διὰ τὸ ἐλεῆσαι τὰς γενεὰς τῶν γενεῶν συνελήφθη· καὶ τοῖς
φοβουμένοις αὐτὸν προσκεῖται· ὅτι οἱ πάντη ἀνάξιοι καὶ ἐπὶ τῇ
ἀπιστίᾳ διαμένοντες. οὐκ ἐλεοῦνται· ἀλλ' οἱ διὰ τῆς γνώσεως
καὶ μετανοίας. πρὸς τοῖς ἡμᾶς ἀποτρεπόμενοι· ἐποίησεν
κράτος ἐν βραχίονι αὐτοῦ. ἐπειδὴ διὰ τῆς αὐτοῦ χειρὸς, οὐκ ἄλλου
τὸ ἔργον· καὶ γὰρ βραχίων τοῦ πατρὸς, ὁ υἱός· κατὰ τό· ἐλυτρώ-
σω ἐν βραχίονί σου τὸν λαόν σου· δι' αὐτοῦ οὖν νίκην ἐργάσατο·
καὶ τρόπαιον ἔστησε κατὰ τῶν παλαι τυραννούντων ἐχθρῶν·
διεσκόρπισε δὲ καὶ τὸν τύφον αὐτῶν ἢ καρδίας· τῶν τῆς δια-
νοίας ὑπερηφάνων· τουτέστι τὰς καθ' ἡμῶν αὐτῶν ἀπρά-
κτους ἐποίησεν μου λαοῦ· τούτοις δὲ αὐτοῖς καὶ δυνάστας καλεῖ·
οὓς καθεῖλεν. ὑψώσας τοὺς ταπεινώσαντας ἑαυτοὺς ὑπὸ
τὴν κραταιὰν αὐτοῦ χεῖρα· δεδωκὼς αὐτοῖς ἐξουσίαν ἐπά-
νω ὄφεων καὶ σκορπίων πατεῖν· καὶ πεινῶντας μὲν τοὺς
ἐξ ἐθνῶν λιμώττοντας θείων λογίων καὶ διδασκαλίας. ἐνε-
πλησεν ἀγαθῶν τῶν τῆς νέας διαθήκης· τοὺς δὲ τῷ νόμῳ
πλουτοῦντας ἰουδαίους· καὶ τοῖς προφήταις ἐπαιρομένους
κενοὺς ἐξαπέστειλε· μὴ προσδεξαμένους τὸν ὑπὸ τοῦ νόμου
καὶ τῶν προφητῶν προθεσπιζόμενον χριστὸν τὸν θεὸν ἡμῶν· τὸ
ἀντελάβετο ἰσραὴλ παιδὸς αὐτοῦ. δηλοῦται μὲν καὶ πρὸς τὸν κατὰ
σάρκα ἰσραὴλ ἁρμόσαι· πολλοὶ γὰρ ἐξ αὐτῶν μυριάδες πιστεύ-
σαντες τῷ χριστῷ, ἐσώθησαν· δηλοῦται δὲ καὶ πρὸς τὸν νοητὸν ἰσραὴλ
τὸν ἐν νῷ καθαρῷ ὁρῶντα τὸν θεόν· τοῦτο γὰρ ἰσραὴλ ἑρμηνεύεται· ὁ τὴν

ὡς κἂν διὰ τὸ τοῦτο λαλῆσαι· πῶς γάρ· διὰ τοῦτο δὲ ἐθαύμα-
σαν πάντες· ὅτι δίχα λαλιᾶς συμφωνήσαντες ὅ τε Ζαχαρίας καὶ ἡ Ἐλισά-
βετ. περὶ τοῦ ὀνόματος· Ἰωάννην ἐκ πάντων. Καὶ περὶ ξένον
ὂν ἐστὶ τὴν συγγένειαν αὐτῶν· Ἰωάννης δὲ, χάρις θεοῦ ἑρμη-
νεύεται· διὸ καὶ μετὰ τὸ γράψαι αὐτοῦ τὸ ὄνομα, εὐθέως τῇ
τοῦ θεοῦ χάριτι ἀνεῴχθη αὐτοῦ τὸ στόμα· ἐλάλει δὲ εὐλογῶν
τὸν θεόν· καὶ παρὰ τὴν τάξιν τῶν ἀναγεγραμμένων πρῶτον
μὲν περὶ τοῦ χριστοῦ ὡς ἤδη τοῦ υἱοῦ ἐπιδημήσαντος· ὕστερον δ'
καὶ περὶ τοῦ Ἰωάννου· διατί δὲ ἐγένετο ἐπὶ πάντας φόβος
τοὺς περιοικοῦντας αὐτούς· ἵνα ὥσπερ διὰ τῆς σιωπῆς τοῦ
Ζαχαρίου ἐξεπλάγη ὁ λαός, οὕτως καὶ ἐπὶ τῇ λαλιᾷ αὐτοῦ· ὅπως
διὰ τῶν δύο τούτων θαυμάτων, καὶ ἔτι λογίζονται πάν-
τες περὶ τοῦ τεχθέντος παιδίου· ταῦτα δὲ πάντα προεκ-
καλύζοντο ἀπερρωθῆναι· ὡς τὸ τῆς ἐξ αὐτοῦ στόματος ἡμᾶς τοῦ
τοῦ χριστοῦ μαρτυρῆσαι μέλλοντα· εὐλογῶν δὲ τὸν θεὸν Ζαχα-
ρίας, ἐπὶ σιωπῇ πολλῇ ἀναλαλήσας γενόμενα παρ' αὐτοῦ πρὸς τὸν λαὸν
ἀναλαβὼν τοῦ λέγειν οὕτως· εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰσραήλ· ὅτι ἐπε-
σκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· οἵτινές
ἐστιν; οἱ τὸν χριστὸν ἐπιγνόντες· οὗτοι γὰρ τὴν ἐπισίων πλεονε-
ξίαν γεγόνασιν· ἐπεὶ ἐπὶ τοῦ χριστοῦ ἑαυτοῖς τὴν θείαν ἐπισίων πλὴν
ἀποδέξαντο· πῶς δὲ ἤγειρε κέρας σωτηρίας ἡμῖν
ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ· τὸ κέρας, ἢ ἀντὶ βασιλεί-
ας, ἢ ἀντὶ δυνάμεως παραλαμβάνεται τῇ θείᾳ γραφῇ· ἀμ-
φότερα δέ. ὁ χριστὸς ἐπὶ μὲν ἐκ τῆς σωτηρίας τοῦ Δαβὶδ ἀνατεῖλαι·
αὐτὸς γὰρ ἐπωνόμασται βασιλεὺς βασιλευόντων· καὶ ἡ ἀ-
καταμάχητος δύναμις τοῦ πατρός· ἡ πάντας τοὺς ἐχθροὺς ἡ-
μῶν τροπωσαμένη· κατὰ τὴν τῶν ἁγίων αὐτοῦ προφη-
τῶν προαγόρευσιν· πᾶσι γὰρ τοῖς προφήταις τὸ περὶ χριστοῦ
κατήγγελται μυστήριον· καὶ ῥυσαμένη ἡμᾶς ἐκ τῶν ἐχθρῶν
ἡμῶν· καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ἐ-
χθρῶν δὲ, οὐκ ἀνθρώπων· ἀλλὰ δαιμόνων· τὸ πολεμοῦν ἐπὶ
[illegible] τῶν πρώην ἡμᾶς. οὗτος χριστὸς ἔσωσεν· ὅτι τὸ στόμα

εὐλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραὴλ ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ δαυὶδ τοῦ παιδὸς αὐτοῦ· καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ· σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν· καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ· ὅρκον ὃν ὤμοσε πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν· τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ· ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν· διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης· τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις. ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν ἰσραήλ·

Χρὴ παρατηρήσασθαι ἐν ὅλῃ τῇ παλαιᾷ καὶ καινῇ γραφῇ· ἐάν που εὑρήσῃς ἐπὶ ἁμαρτωλοῦ γεννήσεως [illegible] γενομένης· τό· ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν· οὐδαμοῦ δὲ ὅπου κἄν τις εὕροι· ἀλλὰ μόνον ὅπου ὀνομάζεται ὅτι δίκαιος ἦν ὁ γεννώμενος· καθὼς ἐν τῷ [illegible] εὐαγγελιστής· τῇ δὲ ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· διατί; [illegible] αὐτὴν [illegible] ὁμοίως ἐκ [illegible] παιδίου τίθεσθαι πρὸς [illegible] ἐπειδὴ τοῦτο καλοῦμεν· πρῶτον τὴν ἐκ θεοῦ προσταχθεῖσαν [illegible] σφραγῖδα· τουτέστι τὴν περιτομήν· [illegible] χρηματίσαι· [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]

αὐτοῖς· τοῖς θελήσασιν ἀνθρώποις γνῶναι ἰουδαίοις ἐπεὶ δ' ἄλλως· λέγει
δὲ καὶ πῶς ἐστὶν ἡ Χριστοῦ γνῶσις σωτηρία· ὅτι ἐν ἀφέσει ἁ-
μαρτιῶν ἐστίν· οὕτως τοῖς ἀνθρώποις ἐλεήσαντος τοῦ θεοῦ· καὶ τὸ
ὡς ἐφάνη ἡμῖν διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν ἠλεήθημεν·
οὐ δὲ γὰρ δι' αὐτοὺς ἔργων ὧν ἐποιήσαμεν ἡμεῖς· ἐν οἷς τοῦ πατρὸς σπλά-
γχνοις. ἐπεσκέψατο ἡμᾶς· ὁ ἐξ ὕψους ἐξ οὐρανοῦ ἀνατείλας ἥ-
λιος δικαιοσύνης. ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ καὶ θεὸς ἡμῶν·
καὶ σκότος μὲν λέγει, τὴν ἀγνωσίαν· σκιὰν δὲ θανάτου, τὴν ἁ-
μαρτίαν· διὰ τὸ μετὰ ἁμαρτίαν αὐτοῖς τὸν θάνατον· ἀλλ' αἰώνιον ἢ
κοινὸν δὲ λέγει θάνατον· ὥσπερ γὰρ ὁ αἰσθητὸς θάνατος χωρίζει
σῶμα ψυχῆς. οὕτως ἡ ἁμαρτία χωρίζει ἡμᾶς τοῦ θεοῦ· ἵνα διὰ
τὰ τοῦ νέου ἡμᾶς διαμένειν κατὰ θεόν· καὶ ὁ δὲ γνώσεως ἐστὶν
ἑαυτοῦ διδασκαλίαν ὁ Χριστὸς καὶ τὸ κήρυγμα. τοῦτο γάρ ἐστιν ὁδὸς εἰ-
ρήνης· ἐπειδὴ δὲ κατὰ τὴν ἀναλογίαν τῆς ἡλικίας· ηὔξανε
κρείττων ὁ πρόδρομος χάριτος. φησὶν ὁ εὐαγγελιστής· τὸ δὲ παι-
δίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι· διὰ τοῦτο δὲ ἐν ταῖς ἐρήμ-
οις· ἕως ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ, ἵνα ὁ τῶν σαρκὸς
μαρτυρήσων Χριστοῦ· ἔξω τῆς ἐν ἀνθρώποις κακίας ᾖ· καὶ ὁ τοιοῦτος ἀξιόπι-
στος μάρτυς φανῇ· μαρτυρῶν περὶ Χριστοῦ· καὶ τὴν κακίαν ἐλέγχων
μετάνοιαν κηρύσσων· καὶ ἐπειδὴ διὰ τοῦ καθολικὴ χάρις ἐκ Χριστοῦ
ἔμελλεν εἰς πάντας τοὺς ἀνθρώπους. γίνεται ἐν προοιμίοις καθόλου ἀπογραφὴ
τῆς οἰκουμένης· σωτῆρος ἐν ᾧ ὅλης γενομένου τῆς οἰκου-
μένης. φησὶ γὰρ ὁ εὐαγγελιστής· [illegible] παρουσία τοῦ Χριστοῦ:

ἀρχ ζ Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος τε ζ
Αὐγούστου. ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ
ἀπογραφὴ πρώτη ἐγένετο· ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου·
καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι ἕκαστος εἰς τὴν ἰδίαν πό-
λιν· ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως να-
ζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυῒδ ἥτις καλεῖται Βηθλ-
εέμ· διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυΐδ. ἀπογράψα-
σθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ
ἐγκύῳ· ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ· ἐπλήσθησαν αἱ ἡμέ-

ἀρχ ζ ἡ τ' ἀπογραφὴ

γενόμενον ἔλεος· καὶ πρὸς τοὺς πατέρας ἡμῶν ἀναφέρει ἐπὶ τοὺς
πατέρας τὸν Ἀβραάμ· ἐπιλανθανόμενοι γὰρ τῆς πρὸς ἡμᾶς εὐερ-
γεσίας. καὶ μωμοὶ γίνονται τῆς ἀφροσύνης· περὶ ταύτης δὲ
λέγει· μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ· περὶ ἧς πρὸς τὸν Ἀ-
καὶ κεκρυμμένως καὶ οὐ διὰ τὸ ὁρᾶσθαι [illegible] προσήκει ποιεῖν· τοῦ-
το γὰρ δηλοῖ τὸ εἰς τὸ ὄρος κατὰ μόνας. καὶ ὡς ἐν [illegible] χρὴ προσεύ-
χεσθαι τὸν κύριον ἡμῶν Ἰν Χν· καθὼς [illegible] ἐποί-
ου [illegible] προσεύχου. εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ [illegible].
Καὶ γὰρ [illegible] ὁσίας ἐπαίροντας χεῖρας. προσεύχεσθαι
δεῖ· καὶ ὡς πρὸς τὸ [illegible] ὕψος ἀνάπτοντας [illegible] τοῦ
νοῦ. καὶ ἀποφοιτῶντας [illegible] θορύβου παντὸς· ἀπὸ [illegible] καὶ
[illegible] κοσμικοῦ. [illegible] τοῦ [illegible] καὶ [illegible]
ἔχοντας ὀλιγο~~ψυχίαν~~· [illegible] ἄλλον [illegible]. καὶ
[illegible] ἐν ταῖς χερσὶν [illegible] τιθεμένους· καὶ οὐκ
θαρσαλέον ἔχοντας τὴν [illegible]· [illegible] γὰρ ὅτι ἦν
[illegible] προσευχῇ [illegible] ὁ Χς· ἀλλ' ὅτι διενυκτέρευε τοῦτο δηλοῖ::

Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν παράκλησιν
ὑμῶν· οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι· ὅτι πεινάσετε· οὐαὶ ὑμ

ιε´ περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα

αὐτοῦ· οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς. ἔλεγεν αὐτοῖς·
ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου· ἐγένετο δὲ καὶ ἐν
ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσ
κειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος· καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά· παρετήρουν
δὲ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θερα
πεύσει· ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. αὐτὸς δὲ ᾔδει τοὺς δια
λογισμοὺς αὐτῶν· καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα·
ἔγειραι καὶ στῆθι εἰς τὸ μέσον· ὁ δὲ ἀναστὰς ἔστη. εἶπεν οὖν ὁ ἰς
πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς τί· ἔξεστι τοῖς σάββασιν ἀγα
θοποιῆσαι ἢ κακοποιῆσαι· ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι· καὶ
περιβλεψάμενος πάντας αὐτούς, εἶπεν αὐτῷ· ἔκτεινον
τὴν χεῖρά σου· ὁ δὲ ἐποίησεν· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὡς
ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας· καὶ διελάλουν πρὸς ἀλ
λήλους τί ἂν ποιήσειαν τῷ ἰυ·

Περὶ τοῦ ἐν τῷ εὐαγγελίῳ σαββάτου δευτεροπρώτου.
ὁ ἅγιος ἰσίδωρος ὁ πηλουσιώτης λέγει οὕτως· ὅτι δευτερό
πρωτον εἴρηται· ἐπειδὴ δευτέρα μὲν ἦν τοῦ πάσχα· πρώ
την δὲ τῶν ἀζύμων· ἢ δὲ σάββατον εἴρηται. μὴ θαυμάσῃς·
σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσιν· ἐπεὶ δὲ αὐτὸ εἴρηται
σάββατα σαββάτων·

ιϛ´ περὶ τῆς ἐκλογῆς τῶν ἀποστόλων

ιϛ´ Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προ
σεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ
θῦ· καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ·
καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα οὓς καὶ ἀποστόλους ὠνό
μασε· σίμωνα ὃν καὶ ὠνόμασε πέτρον· καὶ ἀνδρέαν τὸν ἀδελφὸν
αὐτοῦ· ἰάκωβον καὶ ἰωάννην· φίλιππον καὶ βαρθολομαῖον· μα
τθαῖον. καὶ θωμᾶν· ἰάκωβον τὸν τοῦ ἀλφαίου· καὶ σίμωνα
τὸν καλούμενον ζηλωτήν· καὶ ἰούδαν ἰακώβου· καὶ ἰούδαν
ἰσκαριώτην· ὃς καὶ ἐγένετο προδότης· καὶ καταβὰς μετ'
αὐτῶν, ἔστη ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ·
καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς ἰουδαίας καὶ ἰλημ·
καὶ τῆς παραλίου τύρου καὶ σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ

καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ
πνευμάτων ἀκαθάρτων, ἐθεραπεύοντο· καὶ πᾶς ὁ ὄχλος ἐζήτει
ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάν-
τας· καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς
αὐτοῦ, ἔλεγε· : μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι ὑμετέρα
ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ· : μακάριοι οἱ πεινῶντες νῦν· ὅτι χορ-
τασθήσεσθε· : μακάριοι οἱ κλαίοντες νῦν· ὅτι γελάσετε·
μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι· καὶ ὅταν ἀφορίσωσιν
ὑμᾶς καὶ ὀνειδίσωσι· καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν
ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτή-
σατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα
γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν·

ιζ περὶ τῶν μακαρισμῶν

Εἰπὼν ὁ εὐαγγελιστὴς ὅτι ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν ὁ ἰς
εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ προ-
σευχῇ τοῦ θυ. [illegible] τοῦτον καὶ [illegible] ὁ ἅλος κύριος [illegible].
ὅτι πάντα πρὸς οἰκοδομὴν ἡμῶν [illegible] ὁ χς· καὶ [illegible]
πολιτείας [illegible] τὸ καθ' ἑαυτὸν [illegible] ἀληθινοὺς τῷ θεῷ
ἀποφαίνειν προσκυνητάς· καὶ ὅτι τὰς πρὸς θν ἱκεσίας, λάθρα
καὶ κεκρυμμένως καὶ οὐδενὸς ὁρῶντος προσήκει ποιεῖν· τοῦ-
το γὰρ δηλοῖ τὸ εἰς τὸ ὄρος καταμόνας· καὶ ὡς ἐν [illegible] προσεύ-
χεσθαι τὸν κν ἡμῶν ἰν χν· καθὼς δὲ διδάσκει ἡμᾶς εἰπών·
σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου καὶ τὰ ἑξῆς.
Καὶ γὰρ [illegible] ὁσίας ἐπαίροντας χεῖρας, προσεύχεσθαι
δεῖ· καὶ ὡς πρὸς τὸ τῆς θεοπτίας ὕψος [illegible] τοῦ
νοῦ. καὶ ἀποφοιτῶντας θορύβου παντὸς. [illegible] καὶ
μερίμνης κοσμικῆς· δεῖ δὲ τοῦ δρᾶν [illegible]
ἔχοντας ὀλιγοψυχίαν· [illegible] δὲ μᾶλλον καὶ ἐν σπουδῇ· καὶ
ἐν δευτέρῳ τὰς ἐπὶ ταῖς χερσὶν ἐργασίας τιθεμένους· καὶ οὐκ ἀ-
θεράπευτον ἔχοντας τὴν ὑπομονήν· ἀκηκόαμεν γὰρ ὅτι [illegible]
[illegible] προσηύχετο ὁ χς· ἀλλ' ὅτι διενυκτέρευε τοῦτο [illegible]::

Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις· ὅτι ἀπέχετε τὴν παράκλησιν
ὑμῶν· οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι ὅτι πεινάσετε· οὐαὶ ὑ-

ιε´ περὶ τοῦ ξηρὰν ἔχοντος χεῖρα

αὐτοῖς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς. καὶ ἔλεγεν αὐτοῖς·
ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. ἐγένετο δὲ καὶ ἐν
ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδά-
σκειν. καὶ ἦν ἐκεῖ ἄνθρωπος. καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. παρετήρουν
δὲ οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θερα-
πεύσει, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. αὐτὸς δὲ ᾔδει τοὺς δια-
λογισμοὺς αὐτῶν. καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα·
ἔγειραι καὶ στῆθι εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη. εἶπεν οὖν ὁ ἰς̅
πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς τί ἔξεστι τοῖς σάββασιν, ἀγα-
θοποιῆσαι ἢ κακοποιῆσαι· ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι. καὶ
περιβλεψάμενος πάντας αὐτούς, εἶπεν αὐτῷ· ἔκτεινον
τὴν χεῖρά σου. ὁ δὲ ἐποίησεν οὕτω· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὡς
ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας. καὶ διελάλουν πρὸς ἀ-
λλήλους τί ἂν ποιήσειαν τῷ ιυ̅.

Περὶ τοῦ ἐν τῷ [illegible] σαββάτου δευτεροπρώτου.
ὁ ἅγιος ἰσίδωρος ὁ πηλουσιώτης λέγει οὕτως· ὅτι δευτερό-
πρωτον λέγεται· ἐπειδὴ δευτέρα μὲν ἦν τοῦ πάσχα· πρῶ-
τον δὲ τῶν ἀζύμων· ἡ δὲ σάββατον λέγεται. μὴ θαυμάσῃς·
σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι. καὶ διὰ τοῦτο λέγεται
σάββατα σαββάτων.

ις´ περὶ τῆς ἐκλογῆς τῶν ἀποστόλων

ις´ ς
Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν εἰς τὸ ὄρος προ-
σεύξασθαι. καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ
θυ̅. καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ·
καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠ-
νόμασε· σίμωνα ὃν καὶ ὠνόμασε πέτρον, καὶ ἀνδρέαν τὸν ἀδελφὸν
αὐτοῦ· ἰάκωβον καὶ ἰωάννην· φίλιππον καὶ βαρθολομαῖον· μα-
τθαῖον, καὶ θωμᾶν· ἰάκωβον τὸν τοῦ ἀλφαίου καὶ σίμωνα
τὸν καλούμενον ζηλωτήν· καὶ ἰούδαν ἰακώβου· καὶ ἰούδαν
ἰσκαριώτην ὃς καὶ ἐγένετο προδότης. καὶ καταβὰς
μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ,
καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς ἰουδαίας καὶ ἱερουσαλὴμ
καὶ τῆς παραλίου τύρου καὶ σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ

Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι. καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁ-
μοίως. καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις
ἐστί· καὶ γὰρ καὶ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι· καὶ
ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις· καὶ
γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι· καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε
ἀπολαβεῖν. ποία ὑμῖν χάρις ἐστί· καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς
δανείζουσιν ἵνα ἀπολάβωσι τὰ ἴσα· πλὴν ἀγαπᾶτε τοὺς ἐ-
χθροὺς ὑμῶν· καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζον-
τες λαμβάνειν· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς· καὶ ἔσεσθε υἱοὶ τοῦ
ὑψίστου ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ
πονηρούς· γίνεσθε οὖν οἰκτίρμονες. καθὼς καὶ ὁ πατὴρ ὑμῶν
οἰκτίρμων ἐστί: καὶ μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· μὴ κα-
ταδικάζετε καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε. καὶ ἀπολ-
υθήσεσθε· δίδοτε. καὶ δοθήσεται ὑμῖν· μέτρον καλὸν πεπιε-
σμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν
εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε. ἀν-
τιμετρηθήσεται ὑμῖν· εἶπε δὲ παραβολὴν αὐτοῖς· μήτι δύ-
ναται τυφλὸς τυφλὸν ὁδηγεῖν. οὐχὶ ἀμφότεροι εἰς βόθυνον
πεσοῦνται. οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ.
Κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ· τί δὲ βλέ-
πεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· τὴν
δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς· ἢ πῶς δύνα-
σαι λέγειν τῷ ἀδελφῷ σου· ἀδελφέ· ἄφες ἐκβάλω τὸ κάρφος
τὸ ἐν τῷ ὀφθαλμῷ σου· αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν
οὐ βλέπων· ὑποκριτά· ἔκβαλε πρῶτον τὴν δοκὸν τὴν ἐκ τοῦ
ὀφθαλμοῦ σου· καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος
τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· οὐ γάρ ἐστι δένδρον καλὸν
ποιοῦν καρπὸν σαπρόν· οὐδὲ δένδρον σαπρὸν ποιοῦν καρπὸν κα-
λόν· ἕκαστον γὰρ δένδρον. ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται·
οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσι σῦκα· οὐδὲ ἐκ βάτου τρυγῶσι
σταφυλήν· ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας
αὐτοῦ. προφέρει τὸ ἀγαθόν· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ

ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. οὐαὶ ὅταν κα-
λῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοῖς ψευ-
δοπροφήταις, οἱ πατέρες αὐτῶν.

Προαποφήνας πανταχόθεν ὁ δεσπότης θεὸς, τὴν δι᾽ αὐτοῦ πτωχεί-
αν γινομένην, καὶ τὸ πεινῆν καὶ διψῆν καὶ κλαίειν οὐκ ἀμισθὸν ἔ-
σεσθαι τοῖς ἁγίοις ἔσεσθαι· μεθίστησι τὸν λόγον ἐπὶ τοὺς ἐναντίως ἔ-
χοντας τούτοις· φησὶ γάρ· οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε
τὴν παράκλησιν ὑμῶν. οὐαὶ οἱ ἐμπεπλησμένοι νῦν, ὅτι
πεινάσετε. οὐαὶ οἱ γελῶντες νῦν, ὅτι πενθήσετε. οὐαὶ ὅταν κα-
λῶς εἴπωσιν ὑμᾶς πάντες οἱ ἄνθρωποι. δέχονται δὲ ταῦτα, κολάσε-
ως οὕτω καὶ δίκης ἐμποιητικά· ἵνα τῷ φόβῳ τῆς ἐπηρτημένης
κολάσεως, φεύγωμεν τὸ πλουτεῖν· καὶ τὸ ἐν τρυφαῖς εἶναι καὶ
γελᾶν· τουτέστιν ἐν τοῖς [illegible] κοσμικοῖς· τῇ δὲ τῶν στεφάνων
ἐπιθυμίᾳ τῶν ἐν κληρονομίᾳ γενήσονται οἱ μακαρισθέντες· γυ-
μνάζονται πρότερον τοῖς πόνοις· καὶ τὴν διὰ τούτων αἱρετὴν πα-
ραχώρησιν δεδώκασι· καὶ γὰρ τοῖς μὲν κληρονόμοις ἔσεσθαι τῆς
τῶν οὐρανῶν βασιλείας φησί· τοῖς δὲ ἐσχάτως περὶ πάντων
σπαταλῶσιν· ἀπέχετε γάρ φησι τὴν παράκλησιν ὑμῶν· ἀλλ᾽
δὲ καὶ τὴν ὁμοίαν τιμωρίαν ὑπομένουσι· ὡς τοῦ ὑπὸ πάντων
[illegible] ἐπιμελῶς θέλοντας· οὕτω γοῦν δὲ [illegible] ἐν ἀπορίαις ὢν τῶν
ὀχλούντων καθαίρεται· μόνον δὲ τῶν ἐχόντων. τῶν περὶ τὰ χρήματα
τὸν πόθον κεκτημένων· οὗτοι δέ εἰσιν, οἱ μὴ τῆς τοῦ κυρίου ἀκούον-
τες φωνῆς λεγούσης· μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς
γῆς· ὅπου σὴς καὶ βρῶσις ἀφανίζει· καὶ ὅπου κλέπται διορύσ-
σουσι καὶ κλέπτουσιν· θησαυρίζετε δὲ ὑμῖν μᾶλλον θησαυροὺς ἐν οὐ-
ρανῷ· ὅπου γάρ φησιν ἐστὶν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

Ἀλλ᾽ ὑμῖν λέγω τοῖς ἀκούουσιν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν·
καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς· εὐλογεῖτε τοὺς καταρωμέ-
νους ὑμᾶς· προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· τῷ
τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἀπὸ τοῦ αἴ-
ροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα, μὴ κωλύσῃς· παντὶ δὲ
τῷ αἰτοῦντί σε δίδου· καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ, μὴ ἀπαίτει· καὶ

Τινὸς δ᾽ ἐνέκειντο αὐτῷ ἰάσασθαι τὸν δοῦλον τοῦ ἑκατοντάρχου· μὴ
καλούμενος ὑπό τινος ἐπὶ νεκροῦ ἀνάστασιν· πορεύεται ὁ ζωῆς
καὶ θανάτου ἔχων τὴν ἐξουσίαν· καὶ γάρ φησιν ἐπορεύετο εἰς πόλιν
καλουμένην Ναΐν. καὶ τῷ ἑξῆς· οὐχ ἁπλῶς· ἀλλ᾽ οἰκονομικῶς
πάντα δρῶν· ἵνα γὰρ μὴ λέγωσί τινες ὅτι οὐ πάντως ἔμελλε
τελευτᾶν ὁ τοῦ ἑκατοντάρχου παῖς· καὶ ἐκ τούτου γέγραφεν ὁ εὐ
ἐγκώμιον· τὰ πρὸς χάριν μᾶλλον ἢ τὰ πρὸς ἀλήθειαν φθεγγό-
μενος· βουλόμενος τὴν ἀκόλαστον γοῦν τῶν τοιούτων ἀποφρά-
ξαι γλῶσσαν. διὰ τοῦτο ὑπαντᾷ τινι χ(ριστὸ)ς ὁ θ(εὸ)ς ἡμῶν. τῷ ἐκκομι-
ζομένῳ τεθνηκότι· καὶ προσελθὼν ἥψατο τῆς σοροῦ· καὶ
τὸν νεανίσκον ἀνίστησιν ὁ πάντα δυνάμενος. λόγῳ τε καὶ ἀφῇ·
διὰ τοῦτο δὲ ἅπτεται τῆς σοροῦ· καίπερ λόγῳ μόνῳ τοῦτο ποιῆ-
σαι δυνάμενος. ἵνα μάθωμεν ὅτι τὸ σῶμα χ(ριστο)ῦ τοῦ θ(εο)ῦ ἡμῶν,
σῶμα ζωοποιόν ἐστι· καὶ σὰρξ τοῦ πάντα ἰσχύοντος μονογενοῦς
υἱοῦ καὶ λόγου τοῦ θ(εο)ῦ·

ιθ

› Καὶ ἐγένετο ἐν τῇ ἑξῆς, ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν· καὶ
› συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοί· καὶ ὄχλος πολύς.
› ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐ-
› ξεκομίζετο τεθνηκώς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ· καὶ αὐτὴ ἦν
› χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ. καὶ ἰδὼν αὐτὴν
› ὁ κ(ύριο)ς, ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ καὶ εἶπεν αὐτῇ· μὴ κλαῖε. καὶ
› προσελθὼν ἥψατο τῆς σοροῦ· οἱ δὲ βαστάζοντες, ἔστησαν·
› καὶ εἶπε· νεανίσκε, σοὶ λέγω· ἐγέρθητι· καὶ ἀνεκάθισεν ὁ νεκρὸς
› καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ· ἔλαβε δὲ
› φόβος πάντας. καὶ ἐδόξαζον τὸν θ(εό)ν· λέγοντες· ὅτι προφήτης
› μέγας ἐγήγερται ἐν ἡμῖν· καὶ ὅτι ἐπεσκέψατο ὁ θ(εὸ)ς τὸν λαὸν αὐτοῦ.
› καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ ἰουδαίᾳ περὶ αὐτοῦ. καὶ ἐν
› πάσῃ τῇ περιχώρῳ:

ιθ π(ερὶ) τοῦ υἱοῦ τῆς χήρας

Ἐπειδὴ ἰδία γέγονεν αὐτοῦ ἡ σὰρξ τοῦ πάντα ζωογονοῦντος.
διὰ τοῦτο ζωοποιός ἐστι καὶ αὐτή· καὶ θανάτου καὶ φθορᾶς ἀ-
ναιρετική. ἀνεκάθισε δὲ ὁ νεκρὸς καὶ ἐλάλει· ἵνα μὴ κατὰ φαντα-
σίαν δόξῃ τις ἐγηγέρθαι· καὶ γὰρ ἀληθοῦς ἀναστάσεως ἀπόδειξ

θησαυροῦ τῆς καρδίας αὐτοῦ. προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας αὐτοῦ, λαλεῖ τὸ στόμα αὐτοῦ· τί δέ με καλεῖτε κύριε κύριε· καὶ οὐ ποιεῖτε ἃ λέγω· πᾶς ὁ ἐρχόμενος πρός με· καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν· ὃς ἔσκαψε καὶ ἐβάθυνε· καὶ ἔθηκε θεμέλιον ἐπὶ τὴν πέτραν· πλημμύρας δὲ γενομένης, προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ· καὶ οὐκ ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν· ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέρρηξεν ὁ ποταμός. καὶ εὐθέως ἔπεσε· καὶ ἐγένετο τὸ ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα. : ἐπειδὴ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ·

ιη
ζ
περὶ τοῦ δούλου τοῦ ἑκατοντάρχου

εἰσῆλθεν εἰς Καπερναούμ· ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων, ἤμελλε τελευτᾷν· ὃς ἦν αὐτῷ ἔντιμος· ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων· ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ· οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν· παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες αὐτῷ· ὅτι ἄξιός ἐστιν ᾧ παρέξῃ τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν· καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν· ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς· ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους. λέγων αὐτῷ· κύριε μὴ σκύλλου· οὐ γάρ εἰμι ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· ἀλλ' εἰπὲ λόγῳ καὶ ἰαθήσεται ὁ παῖς μου· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, πορεύθητι· καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο καὶ ποιεῖ· ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· λέγω ὑμῖν· οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον. εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα·

δὲ ἐν ἀγορᾶ καθημένοις· καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ λέγουσιν·
ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ
οὐκ ἐκλαύσατε· ἐλήλυθε γὰρ ἰωάννης ὁ βαπτιστής· μήτε
ἄρτον ἐσθίων· μήτε οἶνον πίνων, καὶ λέγετε δαιμόνιον ἔχει·
ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ λέγετε ἰδοὺ ἄνθρωπος
φάγος καὶ οἰνοπότης· φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· καὶ ἐ
δικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων·

Καὶ αὐτὸς δὲ ὁ βαπτιστὴς ἀπαγγειλάντων αὐτῷ τῶν μαθητῶν αὐτοῦ
τὰ περὶ ἰησοῦ, προσκαλεσάμενος δύο τῶν μαθητῶν αὐτοῦ, ἔπεμ
ψεν αὐτοὺς πρὸς τὸν κύριον λέγων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον
προσδοκῶμεν·

κα
ς

Ἠρώτα δέ τις αὐτὸν τῶν φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ
εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ φαρισαίου, ἀνεκλίθη· καὶ ἰδοὺ
γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός· ἐπιγνοῦσα ὅτι ἀνά
κειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου·
καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο
βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι· καὶ ταῖς θριξὶ τῆς κεφαλῆς
ἐξέμασσε· καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ·
ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ λέγων·
οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ
ἥτις ἅπτεται αὐτοῦ· ὅτι ἁμαρτωλός ἐστι· καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπε
πρὸς αὐτόν· σίμων ἔχω τί σοι εἰπεῖν· ὁ δέ φησι· διδάσκαλε εἰπέ·
δύο χρεοφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεν
τακόσια· ὁ δὲ ἕτερος πεντήκοντα· μὴ ἐχόντων δὲ αὐτῶν ἀπο
δοῦναι, ἀμφοτέροις ἐχαρίσατο· τίς οὖν αὐτῶν ἐπὶ πλεῖον ἀ
γαπήσει· ἀποκριθεὶς δὲ ὁ σίμων εἶπεν· ὑπολαμβάνω ὅτι ᾧ
τὸ πλεῖον ἐχαρίσατο· ὁ δὲ εἶπεν αὐτῷ· ὀρθῶς ἔκρινας· καὶ
στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ σίμωνι ἔφη· βλέπεις ταύ
την τὴν γυναῖκα· εἰσῆλθόν σου εἰς τὴν οἰκίαν· ὕδωρ ἐπὶ τοὺς
πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς
πόδας· καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε· φίλημά μοι οὐκ ἔδω
κας· αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς

κε π
ς

τῆς ἀλει
ψάσης
τὸν
κν
μ
υ
ρ
ο
υ
ς

ταῦτα ποιῆσαι· ἄψυχον γὰρ σῶμα, οὔτε ἀνακαθίσαι, οὔτε λαλῆσαι
δύναται· ὅθεν καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ· ὡς εἶδον δὲ τὸ παρά-
δοξον τοῦ θαύματος εἰς φόβον ἤγαγεν ἅπαντας. διελαλήθη τε
καὶ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ· καὶ αὐτῷ δὲ τῷ Ἰωάννῃ ταῦτα ἀπήγγειλάν
τινες τῶν μαθητῶν αὐτοῦ·

ϛιϰʹ περὶ τῶν ἀποσταλέντων παρὰ Ἰωάννου

ϛιϰʹ Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων.
καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης,
ἔπεμψε πρὸς τὸν Ἰησοῦν λέγων· σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶ-
μεν· παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον· Ἰωάννης ὁ βαπτιστὴς
ἀπέσταλκεν ἡμᾶς λέγων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσ-
δοκῶμεν· ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νό-
σων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν· καὶ τυφλοῖς
πολλοῖς ἐχαρίσατο τὸ βλέπειν· καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·
πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυ-
φλοὶ ἀναβλέπουσι· χωλοὶ περιπατοῦσι· λεπροὶ καθαρίζονται·
κωφοὶ ἀκούουσι· νεκροὶ ἐγείρονται· πτωχοὶ εὐαγγελίζονται·
καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί· ἀπελθόν-
των δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους
περὶ Ἰωάννου· τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι·
κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον. ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν·
ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον, ἰδοὺ οἱ ἐν ἱματις-
μῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν·
ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν· προφήτην, ναὶ λέγω ὑμῖν καὶ
περισσότερον προφήτου· οὗτός γάρ ἐστι περὶ οὗ γέγραπται·
ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου ὃς κατα-
σκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· λέγω γὰρ ὑμῖν· μείζων
ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ βαπτιστοῦ οὐ-
δείς ἐστιν· καὶ πᾶς ὁ ὄχλος ἀκούσας καὶ οἱ τελῶναι, ἐδικαίωσαν τὸν
θεὸν βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου· οἱ δὲ Φαρισαῖοι καὶ
οἱ νομικοί, τὴν βουλὴν τοῦ θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς μὴ βα-
πτισθέντες ὑπ᾽ αὐτοῦ. τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς
γενεᾶς ταύτης καὶ τίνι εἰσὶν ὅμοιοι· ὅμοιοί εἰσι παιδίοις τοῖς

κολακείας ἀποκάλυψιν· οὐ δεῖ γὰρ διὰ τὸ μὴ ἔχειν πολλὰ τὴν κρί-
σιν ὡς ἀπαλλαγέντας τις· ἀλλ' ὁμοίως καὶ ὅσοι τοῖς ὀλί(γοις)
κατακρίνεται· μὴ τὴν προσήκουσαν καὶ ἀπ' αὐτῶν ἡ
προσήνεγκας ἐξομολόγησιν καὶ μετάνοιαν· ὡς γὰρ ἀπὸ
τοῦ λόγου. ἀπαρρησίαστος αἱρεθήσεται ἐπὶ τοῦ φονικοῦ οὐ μάλα·
καὶ σὺ μὲν φησὶ τοῖς ἑτοίμοις οὐκ ἐχρήσω· ὕδωρ ἐπὶ τοὺς
πόδας μου οὐκ ἔδωκας· εὔκολος γὰρ τῶν ὑδάτων ἡ χρῆσις·
αὕτη δὲ τοῖς ἀνετοίμοις ἐξεκένωσε· τοῖς δάκρυσιν αὐτῆς
ἀρδεύσασα μου τοὺς πόδας· οὐ δεῖ γὰρ εὔκολος ἡ τῶν δακρύων
χύσις· καὶ ταῖς θριξὶν ἐξέμαξεν· ἵνα δι' ὧν ἐθήρασε πρὸς
ἁμαρτίαν μηνύοντα. διὰ τούτων νῦν ἐθεράπευ-
σεν· ἐπειδὴ καὶ καταφρονήσας μου, φίλημά μοι οὐκ ἔδωκας·
οὐδὲ ἐλαίῳ τὴν κεφαλήν μου ἤλειψας· αὕτη δὲ μύρῳ
πολλοῦ φόνου καὶ καταφιλοῦσα μου τοὺς πόδας, μύρῳ ἤλειψε·
Καὶ εἶπε δὲ ἅπαξ ἐν ἑαυτῷ· οὗτος εἰ ἦν προφήτης καὶ τὰ ἑ-
ξῆς· γνῶθι καὶ ἀμὴν ἐκ τούτου, ὅτι οὐκ ἀγνοῶ· ἀλλὰ καὶ
τοὺς σοὺς διαλογισμοὺς ἐπίσταμαι· καὶ τὰς ἁμαρτίας ταύ-
της γινώσκω· διὸ καὶ σὲ μὲν ὡς πανταχοῦ δέον ἐλέγχω·
καὶ τὸν ἔλεον τῇ ἁμαρτησάσῃ ταύτῃ ἐπιφαινόμενος.
λέγω σοι· ὅτι ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί· ὅτι
δεξαμένη ἀγγελιστήν. ὅτι καὶ ἕτεροι ἦσαν συνανακείμενοι γὰρ
καὶ ἐξεθαύμαζον ὁ λόγος· ὅτι οὐχ ὡς προφήτου μόνον· ἀλλ' ὡς δε-
σπότου τὸ δίκαιον ἀπονέμοντος. ἦν δὲ τὸ δίκαιον· ἡ ἐξο-
μολόγησις τῆς γυναικός. καὶ τὸ δάκρυον· καὶ ἡ περὶ
τοὺς πόδας στάσις· ὁ δὲ Χριστὸς εἶπεν αὐτῇ· ἡ πίστις σου σέσωκέ
σε· διὰ τὸ πιστεῦσαι αὐτήν. ὅτι ἐξουσίαν ἔχει ἀφιέναι ἁ-
μαρτίας· τὸ δὲ πορεύου εἰς εἰρήνην. ἀντὶ τοῦ μὴ καθ'
ἁμάρτανε· ὁ κόσμος εἰρήνην·

Καὶ ἐγένετο ἐν τῷ καθεξῆς· καὶ αὐτὸς διώδευε κατὰ πόλιν
καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν
τοῦ θεοῦ· καὶ οἱ δώδεκα σὺν αὐτῷ· καὶ γυναῖκές τινες αἳ ἦσαν
τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· μα-

ἤλειψας· ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ
ἤλειψέ μου τοὺς πόδας· οὗ χάριν λέγω σοι· ἀφέωνται αἱ
ἁμαρτίαι αὐτῆς αἱ πολλαί· ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον
ἀφίεται, ὀλίγον ἀγαπᾷ· εἶπε δὲ πρὸς αὐτήν· ἀφέωνταί σου αἱ
ἁμαρτίαι· καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς·
τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν· εἶπε δὲ πρὸς
τὴν γυναῖκα· ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην·

Χρὴ γινώσκειν ὅτι ὁ φαρισαῖος ὁ κεκληκὼς τὸν κύριον καὶ
[illegible] Χριστοῦ· [illegible] οὐκ αὐτοῦ [illegible]
οὐδὲ [illegible] αὐτοῦ· [illegible] ἔφη· οὔτε
ἡμῖν προφήτης καὶ τοῦ Ἰησοῦ· ὁ δὲ κύριος καὶ [illegible] αὐτὸν
[illegible]· εἰσελθὼν εἰς τὸν οἶκον αὐτοῦ κατεκλίθη·
καὶ ἰδοὺ γυνὴ ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλός· [illegible]
ὅτι κατάκειται ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου καὶ τοῦ Ἰησοῦ· [illegible]
[illegible]· οὔτε [illegible] μαθηταί [illegible]· οὔτε [illegible]
[illegible]· οὔτε [illegible] παρ' αὐτοῦ [illegible]
[illegible]· ὅτι [illegible]· πρὸς αὐτὸ τὸ πάθος τοῦ
[illegible]· αὐτὴ δέ· [illegible] τοῦ [illegible]
[illegible] πρὸ τούτου· καθώς φησι δὲ αὐτή· οὐκ [illegible]
ἀλλ' αὕτη μύρῳ τοὺς πόδας ἤλειψε· [illegible]
τούτου [illegible]· ὁ δὲ κύριος [illegible]
[illegible]· ἀλλὰ καὶ τὰς ἐνθυμήσεις [illegible]
ὡς [illegible] τῶν προφητῶν δεσπότης [illegible]
τοὺς διαλογισμοὺς τοῦ φαρισαίου· ὡς καὶ [illegible]
[illegible] τοῦ Ἰησοῦ· [illegible]
[illegible] τὸν πλησίον [illegible]· αὐτός φησι· τί [illegible]
αὐτοῦ ὅτι ἐθαυμάσθης· οὐ δὲ [illegible]
[illegible]· ἀλλ' οὐ [illegible]
[illegible]· ὁ πολλάκις [illegible]
[illegible] ἁμαρτημάτων [illegible]
[illegible]· τὸν δὲ ὀλίγα ἁμαρτήσαντα [illegible]· καὶ
[illegible] τοῦ φαρισαίου [illegible]

χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν· οἳ πρὸς
καιρὸν πιστεύουσι καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. τὸ δὲ
εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες τὸν λόγον· καὶ ὑ-
πὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι. συμ-
πνίγονται καὶ οὐ τελεσφοροῦσι. τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν
οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον, κατέ-
χουσι καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ· οὐδεὶς δὲ λύχνον ἅψας,
καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυ-
χνίας ἐπιτίθησιν· ἵνα οἱ εἰσπορευόμενοι, βλέπωσι τὸ φῶς·
οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον,
ὃ οὐ γνωσθήσεται. καὶ εἰς φανερὸν ἔλθῃ· βλέπετε οὖν πῶς ἀκούετε·
ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔ-
χειν, ἀρθήσεται ἀπ' αὐτοῦ· παρεγένοντο δὲ πρὸς αὐτὸν
ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ· καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐ-
τῷ διὰ τὸν ὄχλον· καὶ ἀπηγγέλη αὐτῷ λεγόντων· ἡ μήτηρ σου
καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες· ὁ δὲ ἀποκριθεὶς εἶπε
πρὸς αὐτούς· μήτηρ μου καὶ ἀδελφοί μου, οὗτοί εἰσιν· οἱ τὸν λόγον
τοῦ θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν· : καὶ ἐγένετο ἐν μιᾷ
τῶν ἡμερῶν· καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ·
καὶ εἶπε πρὸς αὐτούς· διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης·
καὶ ἀνήχθησαν· πλεόντων δὲ αὐτῶν, ἀφύπνωσε· καὶ κα-
τέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην· καὶ συνεπληροῦντο καὶ ἐ-
κινδύνευον· προσελθόντες δὲ οἱ μαθηταὶ αὐτοῦ, διήγειραν
αὐτὸν λέγοντες· ἐπιστάτα ἐπιστάτα ἀπολλύμεθα· ὁ δὲ
ἐγερθεὶς, ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος.
καὶ ἐπαύσαντο καὶ ἐγένετο γαλήνη· εἶπε δὲ αὐτοῖς· ποῦ ἐστιν ἡ πί-
στις ὑμῶν· φοβηθέντες δὲ, ἐθαύμασαν· λέγοντες πρὸς ἀλλή-
λους· τίς ἄρα οὗτός ἐστιν· ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ
τῷ ὕδατι καὶ ὑπακούουσιν αὐτῷ. καὶ κατέπλευσαν
εἰς τὴν χώραν τῶν γαδαρηνῶν· ἥτις ἐστὶν ἀντίπεραν τῆς γα-
λιλαίας· ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν
αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν.

κγ ϛ περὶ τῆς ἐπιτιμήσεως τῶν ἀνέμων

κδ ϛ περὶ τοῦ λεγεῶνος

κδ ϛ

> ρία ἡ καλουμένη μαγδαληνή· ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει·
> καὶ ἰωάννα γυνὴ χουζᾶ ἐπιτρόπου ἡρώδου· καὶ σουσάννα·
> καὶ ἕτεραι πολλαί· αἵτινες διηκόνουν αὐτοῖς, ἀπὸ τῶν ὑπαρ-
> χόντων αὐταῖς·

Διώδευε κατὰ πόλιν καὶ κώμην· κηρύσσων καὶ εὐαγγελιζό-
μενος τὴν βασιλείαν τοῦ θεοῦ· ὁ οὐρανόθεν παραγενόμενος
διδάσκαλος εἰς τὴν γῆν. τοὺς ἐπὶ γῆς εἰς τὴν βασιλείαν ἀνακα-
λούμενος· οἱ δὲ δώδεκα καὶ ἦσαν σὺν αὐτῷ· οὐκ ἀγγαρευό-
μενοι. ἀλλὰ παιδαγωγούμενοι καὶ μαθητευόμενοι πρὸς τὸ
εὐαγγέλιον· διηκόνουν δὲ αὐτοῖς. αἱ συνακολουθοῦσαι
γυναῖκες ἐκ τῶν ὑπαρχόντων αὐταῖς· οὐχὶ σωματικὴν
δὲ ἀνάπαυσιν παρέχουσαι· ἀλλ' ἀγγελικῆς σωτηρίας αὐ-
τὴν ποιούμεναι· καὶ προσαναλίσκουσαι τὰ ὑπάρχοντα εἰς
τὴν τῶν δεομένων ἐπίδοσιν· ἵνα κτήσωνται τὴν [illegible]:

κβ ς περὶ τῆς παραβολῆς τοῦ σπόρου

κβ ς

> Συνιόντος δὲ ὄχλου πολλοῦ· καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων
> πρὸς αὐτόν, εἶπε διὰ παραβολῆς· ἐξῆλθεν ὁ σπείρων τοῦ
> σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτόν· ὃ μὲν ἔπεσε
> παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη· καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ
> κατέφαγεν αὐτό· καὶ ἕτερον, ἔπεσεν ἐπὶ τὴν πέτραν·
> καὶ φυὲν, ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα· καὶ ἕτερον ἔ-
> πεσεν ἐν μέσῳ τῶν ἀκανθῶν· καὶ συμφυεῖσαι αἱ ἄκανθαι,
> ἀπέπνιξαν αὐτό· καὶ ἕτερον ἔπεσεν εἰς τὴν γῆν τὴν ἀγαθήν·
> καὶ φυέν, ἐποίησε καρπὸν ἑκατονταπλασίονα· καὶ ταῦτα
> λέγων, ἐφώνει ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· ἐπηρώτων
> δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· τίς εἴη ἡ παραβολὴ αὕ-
> τη· ὁ δὲ εἶπεν· ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βα-
> σιλείας τοῦ θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς· ἵνα
> βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν· ἔ-
> στι δὲ αὕτη ἡ παραβολή· ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ· οἱ δὲ
> παρὰ τὴν ὁδόν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος,
> καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύ-
> σαντες σωθῶσιν· οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ ὅταν ἀκούσωσι, μετ

που οἶκον αὐτοῦ· ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα· καὶ αὐτὴ ἀπέθνησκεν· ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα· ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ἀπ' οὐδενὸς θεραπευθῆναι· προσελθοῦσα ὄπισθεν τοῦ ἰῦ, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς· Καὶ εἶπεν ὁ ἰς· τίς ὁ ἁψάμενός μου· ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ πέτρος Καὶ οἱ σὺν αὐτῷ· ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι· καὶ λέγεις τίς ὁ ἁψάμενός μου; ὁ δὲ ἰς εἶπεν· ἥψατό μού τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ· ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν· τρέμουσα ἦλθε· καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ· καὶ ὡς ἰάθη παραχρῆμα· ὁ δὲ ἰς εἶπεν αὐτῇ· θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην· ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ· ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον· ὁ δὲ ἰς ἀκούσας, ἀπεκρίθη αὐτῷ λέγων· μὴ φοβοῦ· μόνον πίστευε· καὶ σωθήσεται· ἐλθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα· εἰ μὴ πέτρον· καὶ ἰάκωβον· καὶ ἰωάννην· καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα· ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν· ὁ δὲ εἶπε· μὴ κλαίετε· οὐ γὰρ ἀπέθανεν· ἀλλὰ καθεύδει· Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν· αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας· καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε λέγων· ἡ παῖς, ἐγείρου· καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς· καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν· καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός·

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα ἀποστόλους, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια· καὶ νόσους θεραπεύειν· Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ θῦ· καὶ

κα
ζ

κα περὶ τῆς αἱμορροούσης
ς

κζ περὶ τῶν ιβ ἀποστόλων
ζ

Καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο· καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν· ἀλλ'
ἐν τοῖς μνήμασιν· ἰδὼν δὲ τὸν ἰν̅ καὶ ἀνακράξας προσέπεσ(εν)
αὐτῷ· καὶ φωνῇ μεγάλῃ εἶπε· τί ἐμοὶ καὶ σοὶ υἱὲ τοῦ θυ̅ τοῦ ὑ-
ψίστου· δέομαί σου μή με βασανίσῃς· παρήγγελλε γὰρ τῷ πνι̅
τῷ ἀκαθάρτῳ· ἐξελθεῖν ἀπὸ τοῦ ἀνου̅· πολλοῖς γὰρ χρόνοις συνη-
ρπάκει αὐτόν· καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος·
Καὶ διαρρήσσων τὰ δεσμά· ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς
τὰς ἐρήμους· ἐπηρώτησε δὲ αὐτὸν ὁ ἰσ̅ λέγων· τί σοι ἐστὶν ὄνομα·
ὁ δὲ εἶπε· λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν· καὶ
παρεκάλουν αὐτόν· ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον
ἀπελθεῖν· ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ
ὄρει· καὶ παρεκάλουν αὐτόν· ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐ-
κείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς· ἐξελθόντα δὲ τὰ
δαιμόνια ἀπὸ τοῦ ἀνου̅· εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρ-
μησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνί-
κδ̅ γη· ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγονὸς ἔφυγον· καὶ ἀπήγγει-
λαν εἰς τὴν πόλιν εἰς τοὺς ἀγρούς· ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγο-
νός· καὶ ἦλθον πρὸς τὸν ἰν̅· καὶ εὗρον καθήμενον τὸν ἄνον ἀ-
φ' οὗ τὰ δαιμόνια ἐξεληλύθει· ἱματισμένον καὶ σωφρονοῦντα
παρὰ τοὺς πόδας τοῦ ἰυ̅· καὶ ἐφοβήθησαν· ἀπήγγει-
λαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες· πῶς ἐσώθη ὁ δαιμονισθείς· καὶ
ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῶν γαδαρηνῶν ἀπελθεῖν
ἀπ' αὐτῶν· ὅτι φόβῳ μεγάλῳ συνείχοντο· αὐτὸς δὲ ἐμ-
βὰς εἰς τὸ πλοῖον· ὑπέστρεψεν· ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ' οὗ ἐξελη-
λύθει τὰ δαιμόνια· εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν
ὁ ἰσ̅ λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ ὅσα ἐ-
ποίησέ σοι ὁ θσ̅· καὶ ἀπῆλθε καθ' ὅλην τὴν πόλιν κηρύσσων
ὅσα ἐποίησεν αὐτῷ ὁ θσ̅· ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι
τὸν ἰν̅· ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάντες προσδο-
κε̅ κῶντες αὐτόν· καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα ἰάειρος·
Καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπάρχων· καὶ πεσὼν
παρὰ τοὺς πόδας τοῦ ἰησοῦ· παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς

κε̅ τῆς θυγατ(ρὸς) ἰαείρου τοῦ ἀρχισυναγώγου ζ

καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες· καὶ ἤρθη τὸ περισσεῦσαν
αὐτοῖς, κλασμάτων κόφινοι δώδεκα. Καὶ ἐγένετο ἐν τῷ εἶναι
αὐτὸν προσευχόμενον καταμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί·
Καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· τίνα με λέγουσιν οἱ ὄχλοι
εἶναι· οἱ δὲ ἀποκριθέντες εἶπον· ἰωάννην τὸν βαπτιστήν· ἄλλοι
δὲ ἠλίαν· ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη·
εἶπε δὲ αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι· ἀποκριθεὶς δὲ ὁ
πέτρος εἶπε· τὸν χριστὸν τοῦ θεοῦ· ὁ δὲ ἐπιτιμήσας αὐτοῖς, παρήγ-
γειλε μηδενὶ εἰπεῖν τοῦτο· εἰπὼν ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ
παθεῖν. καὶ ἀποδοκιμασθῆναι. ἀπὸ τῶν πρεσβυτέρων καὶ
ἀρχιερέων καὶ γραμματέων· καὶ ἀποκτανθῆναι καὶ τῇ τρί-
τῃ ἡμέρᾳ ἐγερθῆναι· ἔλεγε δὲ πρὸς πάντας· εἴ τις θέλει ὀπί-
σω μου ἐλθεῖν. ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν
αὐτοῦ καὶ ἀκολουθείτω μοι· ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶ-
σαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν
ἐμοῦ, οὗτος σώσει αὐτήν· τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας
τὸν κόσμον ὅλον· ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς· ὃς
γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς τοῦ
ἀνθρώπου ἐπαισχυνθήσεται. ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ
πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων· λέγω δὲ ὑμῖν ἀληθῶς· εἰ-
σί τινες τῶν ὧδε ἑστηκότων. οἳ οὐ μὴ γεύσονται θανάτου ἕως
ἂν ἴδωσι τὴν βασιλείαν τοῦ θεοῦ· ἐγένετο δὲ μετὰ τοὺς λόγ-
ους τούτους ὡσεὶ ἡμέραι ὀκτώ· καὶ παραλαβὼν τὸν πέτρον καὶ
ἰωάννην καὶ ἰάκωβον. ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι·
Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτόν. τὸ εἶδος τοῦ προσώπου αὐτοῦ
ἕτερον· καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων· καὶ
ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ· οἵτινες ἦσαν μωσῆς καὶ ἠλίας·
οἱ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἤμελλε
πληροῦν ἐν ἱερουσαλήμ· ὁ δὲ πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρη-
μένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ·
Καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ· Καὶ ἐγένετο ἐν τῷ
διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ πέτρος πρὸς τὸν ἰησοῦν·

κδ
ς
περὶ τῆς τοῦ κυρίου ἐπερωτήσεως τίνα με λέγουσι·
ς

λ
ς
περὶ τῆς μεταμορφώσεως

ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς· μηδὲν αἴ-
ρετε εἰς ὁδόν· μήτε ῥάβδον· μήτε πήραν· μήτε ἄρτον· μήτε
ἀργύριον· μήτε ἀνὰ δύο χιτῶνας ἔχειν· Καὶ εἰς ἣν ἂν οἰ-
κίαν εἰσέλθητε. ἐκεῖ μένετε· καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ
ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς· ἐξερχόμενοι ἀπὸ τῆς οἰκίας ἢ
ἀπὸ τῆς πόλεως ἐκείνης. καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν
ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς· ἐξερχόμενοι
δέ. διήρχοντο κατὰ τὰς κώμας· εὐαγγελιζόμενοι καὶ θεραπεύ-
οντες πανταχοῦ. Ἤκουσε δὲ Ἡρώδης ὁ τετράρχης
τὰ γινόμενα ὑπ' αὐτοῦ ἅπαντα. καὶ διηπόρει· διὰ τὸ λέγεσθαι
ὑπό τινων. ὅτι Ἰωάννης ἐγήγερται ἐκ νεκρῶν· ὑπό τινων.
ὅτι Ἠλίας ἐφάνη· ἄλλων δέ, ὅτι προφήτης εἷς τῶν ἀρχαίων
ἀνέστη. καὶ εἶπεν Ἡρώδης· Ἰωάννην ἐγὼ ἀπεκεφάλισα·
τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα. Καὶ ἐζήτει
ἰδεῖν αὐτόν· Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι. διηγήσαντο
αὐτῷ ὅσα ἐποίησαν· Καὶ παραλαβὼν αὐτούς. ὑπεχώ-
ρησε κατ' ἰδίαν· εἰς τόπον ἔρημον πόλεως καλουμένης
Βηθσαϊδά· οἱ δὲ ὄχλοι γνόντες. ἠκολούθησαν αὐτῷ· καὶ
ἀποδεξάμενος αὐτούς. ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας
τοῦ θεοῦ· καὶ τοὺς χρείαν ἔχοντας θεραπείας. ἰᾶτο· ἡ δὲ
ἡμέρα ἤρξατο κλίνειν· προσελθόντες δὲ οἱ δώδεκα. εἶπον
αὐτῷ· ἀπόλυσον τὸν ὄχλον· ἵνα ἀπελθόντες εἰς τὰς κύκλῳ
κώμας καὶ τοὺς ἀγρούς. καταλύσωσι καὶ εὕρωσιν ἐπισιτισμόν·
ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν· εἶπε δὲ πρὸς αὐτούς· δότε
αὐτοῖς ὑμεῖς φαγεῖν· οἱ δὲ εἶπον· οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέν-
τε ἄρτοι καὶ ἰχθύες δύο· εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσω-
μεν εἰς πάντα τὸν λαὸν τοῦτον βρώματα· ἦσαν γὰρ ὡσεὶ ἄν-
δρες πεντακισχίλιοι· εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατα-
κλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. Καὶ ἐποίησαν οὕ-
τως· καὶ ἀνέκλιναν ἅπαντας· λαβὼν δὲ τοὺς πέντε ἄρτους
καὶ τοὺς δύο ἰχθύας. ἀναβλέψας εἰς τὸν οὐρανόν. εὐλόγησεν αὐ-
καὶ κατέκλασε· καὶ ἐδίδου τοῖς μαθηταῖς παραθεῖναι τῷ ὄχλῳ·

κη̅
ϛ̅
π(ερὶ) τῶν ε̅ ἄρ(των)
τῶν ε̅ τῶ(ν)
λιο ε
χου
ω
η
ϛ̅

τὸν ἀποστείλαντά με· ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρ-
χων· οὗτος ἔσται μέγας. ἀποκριθεὶς δὲ ὁ Ἰω(άννης) εἶπεν· ἐπιστά-
τα· εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια·
Καὶ ἐκωλύσαμεν αὐτόν· ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν·
Καὶ εἶπε πρὸς αὐτούς· μὴ κωλύετε· ὃς γὰρ οὐκ ἔστι καθ' ὑ-
μῶν· ὑπὲρ ὑμῶν ἐστιν·

Εἰσάγει ὁ εὐαγγελιστὴς περὶ Ἰωάννου τοῦ ἀδελφοῦ Ἰακώβου· ὅτι
πρὸς τὸν κ(ύριο)ν εἶπε· διδάσκαλε εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί
σου ἐκβάλλοντα δαιμόνια καὶ ἐκωλύσαμεν αὐτόν· οὐχ ὡς φθο-
νερῶν γενομένων τῶν ἀποστόλων τὴν φύσιν· ἀλλ' ὡς ἀξιούντων
μαθητῶν· ᾗ καὶ ἰδίοις ἐξεῖναι τοῦτο δρᾶν· αὐτὸς δὲ διδάσκων
αὐτοὺς ἐν τῇ ἀποκρίσει· μὴ κωλύειν τοὺς ἐνεργοῦντας τὰ τοιαῦτα
ἐπὶ τῷ ὀνόματί μου· οὐ γάρ ἐστι καθ' ὑμῶν ὁ τοιοῦτος· ὅστις
Κ ἐστὶ καθ' ὑμῶν· ὑπὲρ ὑμῶν ἐστι τῇ ἀγαθῇ γνώμῃ·

Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψε-
ως αὐτοῦ· καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριξε τοῦ πορεύε-
σθαι εἰς Ἱ(ερουσα)λήμ· καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ·
Καὶ πορευθέντες εἰσῆλθον εἰς πόλιν Σαμαρειτῶν· ὥστε ἑτοιμά-
σαι αὐτῷ· καὶ οὐκ ἐδέξαντο αὐτόν· ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευό-
μενον εἰς Ἱ(ερουσα)λήμ·

Τ ἐκεῖνο δὲ περὶ Φιλίππου· ὅτι
ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ·
ὅτι ἐνίστατο τοῦ καιροῦ· καθ' ὃν ἔδει λοιπὸν τὸ σωτήριον ὑπομεῖ-
ναι ὑπὲρ ἡμῶν πάθος, ἀναλαμβάνεσθαι εἰς τὸν οὐρανόν· συνέ-
βαινε δὲ τοῦ θ(εο)ῦ καὶ π(ατ)ρ(ό)ς· ἐλθεῖν ἐν αὐτῇ γὰρ εἰς Ἱεροσόλυμα· οὐ
κ ἐπὶ κώμας ἢ πόλεις περιοδεύων· οὐ δι' ὧν διακόνει ἀπὸ χρείας·
τοῦτο γὰρ δηλοῖ τό· ἐστήριξε τὸ πρόσωπον αὐτοῦ τοῦ πορεύεσθαι
εἰς Ἱ(ερουσα)λήμ· ἐκπέμπει δὲ πρὸ προσώπου αὐτοῦ τοὺς μαθητ(άς)
οὐκ ἀγνοῶν πῶς οὐκ ἔσονται δεκτοὶ παρὰ τοῖς Σαμαρείταις τῶν προ-
καταγγέλλοντες αὐτὸν ἐπὶ τῷ καταλύσαι παρ' αὐτοῖς· ἀλλ' ἵνα
καὶ κειμένοις ἐκβάλῃ προφάσεως ἀφορμήν· καὶ τ(ὴν)
μαθηταῖς ὠφέλειαν γένοιτο πρόξενος· ἐπειδὴ γὰρ αὐτὸν
εἰς Ἱεροσόλυμα· τὸν τοῦ πάθους καιρὸν ἤδη ἐγγίζοντα ἐλθών.

ἐπιστάτα· καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς
τρεῖς· μίαν σοί· καὶ μίαν Μωσῇ· καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει.
ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν αὐτούς·
ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην· καὶ
φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀ-
γαπητός· αὐτοῦ ἀκούετε· καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη
ὁ Ἰησοῦς μόνος· καὶ αὐτοὶ ἐσίγησαν· καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκεί-
ναις ταῖς ἡμέραις, οὐδὲν ὧν ἑωράκασιν· ἐγένετο δὲ ἐν τῇ ἑξῆς
ἡμέρᾳ, κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ
ὄχλος πολύς· καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου, ἀνεβόησε λέγων·

λα / ς — περὶ τοῦ σεληνιαζομένου

Διδάσκαλε δέομαί σου· ἐπίβλεψαι ἐπὶ τὸν υἱόν μου· ὅτι μονο-
γενής ἐστί μοι· καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν· καὶ ἐξαίφνης
κράζει· καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ· καὶ μόλις ἀποχωρεῖ
ἀπ' αὐτοῦ συντρῖβον αὐτόν· καὶ ἐδεήθην τῶν μαθητῶν σου
ἵνα ἐκβάλωσιν αὐτό· καὶ οὐκ ἠδυνήθησαν· ἀποκριθεὶς δὲ
ὁ Ἰησοῦς εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη· ἕως πότε
ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν· προσάγαγε τὸν
υἱόν σου ὧδε· ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν
τὸ δαιμόνιον καὶ συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι
τῷ ἀκαθάρτῳ· καὶ ἰάσατο τὸν παῖδα· καὶ ἀπέδωκεν αὐτὸν
τῷ πατρὶ αὐτοῦ· ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγα-
λειότητι τοῦ θεοῦ· πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶ-
σιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· θέσθε
Υμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀν-
θρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων· οἱ δὲ ἠγνόουν
τὸ ῥῆμα τοῦτο· καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν, ἵ-
να μὴ αἴσθωνται αὐτό· καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ
τοῦ ῥήματος τούτου· εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ

λβ / ς — περὶ τῶν διαλογιζομένων τίς μείζων·

Τίς ἂν εἴη μείζων αὐτῶν· ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς
καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου, ἔστησεν αὐτὸ
παρ' ἑαυτῷ καὶ εἶπεν αὐτοῖς· ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον
ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχ-

Ὁ ἕτερος ἀκολουθήσω σοι κε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. ἀξιοζήλωτος μὲν ἡ ὑπόσχεσις ἐν ὑπερβολῇ ἔχουσα· καὶ πᾶσαν τοῦ ἐπαίνου μεστήν· τὸ δὲ ζητεῖν ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκον, διαδείκνυσιν ὅτι μεμερισμένην πως τὴν διάνοιαν. τὸ γὰρ ὅλως συναναμίγνυσθαι? θέλειν τοῖς κατὰ γένος οἰκείοις, τοῖς μὴ ἀποδεξαμένοις ἴσως ἔτι τὸν [illegible] τούτων πραγματίσασθαι, οὐ μικρόν ἐστι λογισμοῦ· διό φησι πρὸς αὐτόν· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ τὰ ἑξῆς· ὡς πρὸς γὰρ ὅτι πόνος· τοῖς διὰ τῶν γεωργῶν [illegible] μενος ἐρχόμενος· ὁ τὴν ὄκνησιν πρὸς τὸ λέγειν παντὶ πόνῳ ὑποκόψαι τοῖς αὐχέσι [illegible] τὴν ἄλω· προσφιλὲς δὲ τοῖς ἐρῶσι καὶ τέλος ταῦτα. οὕτως ἔπος εἴη τὸ μὲν ἀκολουθεῖν χῶ τῷ θεῷ· οὐκ αὐτάρκης τὰ δὲ τοῖς ἐπὶ γῆς [illegible] πράγμασι· καὶ τοῖς κατὰ σάρκα οἰκείοις· ἐμμένειν τοῖς μὴ τὴν σπουδὴν ἀποδεχομένοις αὐτοῦ. οὐδαμῶς οὗτος κατορθώσει τοῖς ἐφ' ἅπασιν ἐπαινουμένοις αὐτοῦ, τὴν ἐξ ἐθνῶν ἀπόλαυσιν· οὐδὲ εὔθετος ἐστὶν εἰς τὴν βασιλείαν τοῦ θυ· ἐπιβαλὼν γὰρ ἐπ' ἄροτρον τὴν χεῖρα· διὸ τὸ πρόθυμος ἐστὶν ἐπακολουθεῖν· ὀπίσω δὲ βλέπει. διὸ πλημμελῶς καὶ ἀναβολὴν ποιεῖ τὴν πρόφασιν· τὴν πρὸς τοὺς οἰκείους διάλεξιν· ἀλλ' οὐ τοιούτους εὑρίσκομεν τοὺς ἁγίους ἀποστόλους· ἀμέλει γὰρ ἠκούσαντο τοῦ δεσπότου χῦ λέγοντος πρὸς αὐτούς· δεῦτε ὀπίσω μου, εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ· τοιούτους οὖν πρέπει τυγχάνειν τοὺς ἀκολουθεῖν ἐθέλοντας τῷ χῷ:

λϛ Μετὰ ταῦτα, ἀνέδειξεν ὁ κς καὶ ἑτέρους ἑβδομήκοντα· καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλ(ιν) καὶ τόπον, οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι· ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς· οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυ τοῦ θερισμοῦ. ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ· ὑπάγετε· ἰδοὺ ἀποστέλλω ὑμᾶς ἐν μέσῳ λύκων, ὡς ἄρνας· μὴ βαστάζετε βαλάντιον· μὴ πήραν· μηδὲ ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε· εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε. πρῶτον λέγετε εἰρήνη τῷ οἴκῳ τούτῳ· ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνα-

λϛ περὶ τῶν ἀναδειχθέντων ἑβδομήκοντα
Ια

Καὶ ἔμελλε τῆς ἰουδαίων παροικίας ἀνέχεσθαι· ἵν ἀφελῶς καὶ
δειλιῶσι μὴ ὅταν πάθοιεν τοῦ ἱερουσαλήμ· ἀνεξίκακοι δὲ μᾶλλον ὦσι
αὐτοὶ γένωνται· καὶ ἂν μερίζωσί τινες ἢ ἀποδιώκωσι· προστάγ-
ματος ἀμα τοῦ πράγματος. τὴν δὲ τῶν σαμαρειτῶν μέριμναν ἐποιεῖ-
το· ὡσανεὶ λέγων αὐτοῖς· ἐπεὶ γὰρ καὶ οὐκ ἐδέξαντο ὑμᾶς· ἀλλ' αὐ-
τοῖς τοῦ δεσπότου ἴχνεσιν ἐξακολουθήσαντες. διακαρτερήσατε θεο-
πρεπῶς: ἰδόντες δὲ ἰάκωβος καὶ
ἰωάννης οἱ μαθηταὶ αὐτοῦ, εἶπον· κύριε· θέλεις εἴπωμεν πῦρ καταβῆ-
ναι ἀπὸ τοῦ οὐρανοῦ· καὶ ἀναλῶσαι αὐτοὺς ὡς καὶ ἠλίας ἐποίησε·
στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς καὶ εἶπεν· οὐκ οἴδατε οἵου πνεύματός
ἐστε· ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι· ἀλλὰ
σῶσαι· καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην·

Εἰπόντων τινῶν ἐκ τῶν μαθητῶν· κύριε· θέλεις εἴπωμεν πῦρ καταβῆ-
ναι ἐκ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς· ἐπετίμησεν αὐτοῖς περι-
στέλλων θεοπρεπῶς τὴν ὀξυθυμίαν· καὶ παιδεύων ἀνεξικακεῖν·
οὐ μόνον τότε. ἀλλὰ καὶ ἐς τὰ μετὰ ταῦτα· ἡνίκα τὴν ὑπ' οὐρανὸν
διερχόμενοι· ἀνοσίοις τισὶν ἔμελλον περιπίπτειν ἀνθρώποις
καὶ ἐχομένοις τοῦ θείου κηρύγματος· ἔδει μὲν γὰρ δὲ χρῆναι ὅτι ἠλω-
κότας κεραυνοῖς καταβάλλειν χάριτος· ἀλλ' ἐν τοῖς προτέροις
ἐρχομένοις συνηθείας. τοῦτο εἶπον· πρὸς ἠλίαν ἀναφέροντες τὸ τοῦ
πυρὸς καταφλέξαντα δὲ τοὺς πεντήκοντα· καὶ τοὺς ἡγεμόνας αὐτ.

Ἐγένετο δὲ αὐτῶν πορευομένων ἐν τῇ ὁδῷ. εἶπέ τις πρὸς αὐτόν·
ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ κύριε· καὶ εἶπεν αὐτῷ ὁ ἰησοῦς· αἱ ἀ-
λώπεκες φωλεοὺς ἔχουσι· καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις·
ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου. οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ· εἶπε δὲ πρὸς
ἕτερον· ἀκολούθει μοι· ὁ δὲ εἶπε· κύριε ἐπίτρεψόν μοι πρῶτον ἀ-
πελθόντι θάψαι τὸν πατέρα μου· εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς· ἄφες τοὺς
νεκροὺς· θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν διάγ-
γελλε τὴν βασιλείαν τοῦ θεοῦ· εἶπε δὲ καὶ ἕτερος· ἀκολουθήσω σοι
κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου·
εἶπε δὲ πρὸς αὐτὸν ὁ ἰησοῦς· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄρο-
τρον· καὶ βλέπων εἰς τὰ ὀπίσω. εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ

τοῖς οὐ(ρα)νοῖς· ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πν(εύματ)ι ὁ Ἰ(ησοῦ)ς, καὶ εἶπεν· ἐξο-
μολογοῦμαί σοι π(άτ)ερ κ(ύρι)ε τοῦ οὐ(ρα)νοῦ καὶ τῆς γῆς· ὅτι ἀπέκρυψας ταῦτα ἀ-
πὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ π(ατ)ὴρ ὅτι
οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Ἀπαγγέλλει τοῖς ἑβδομήκοντα· διὸ καὶ λέγει· ὅτι ὑπέστρεψαν μετὰ
χαρᾶς· ὡς ἐπακολουθησάσης τῷ λόγῳ τῆς θεοσημείας· ἔλεγον
γὰρ κ(ύρι)ε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου· οὐ
χ' οὗ τοῦ δὲ χαίρειν τῷ ὅτι μᾶλλον γεγόνασι τοῦ θείου κηρύγματος δια-
κονοι τοῦτο εἶπον· ἀλλ' ὅτι σημείων γεγόνασιν αὐτουργοί·
ὅπερ δέ φησιν ὁ χ(ριστό)ς· ὅτι ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν
ἐκ τοῦ οὐ(ρα)νοῦ πεσόντα, τοῦτο δηλοῖ· ὅτι ἐξ ἀρχῆς αὐτὸς κατα-
πεσεῖν. οὐ δήπου [illegible] προσδοκῶν ἤδη [illegible]· λέγει δὲ ὅτι
ἑωρακέναι· ἐπειδὴ ἄλλος οὐ δύναται ἰδεῖν· ἀλλ' ὁ κριτὴς ὁ αἰδ(ιος)·
ὡς ἀστραπὴν δὲ εἶπεν· ὅτι λαμπρὸς ἦν τὴν φύσιν· ἢ καὶ
ὅτι ταχέως ἐγένετο [illegible]· ὅπερ γὰρ ἐποίησεν ὁ θ(εό)ς, τοῦτο
καλόν· ὃ δὲ μετεποίησεν ὁ διάβολος, τοῦτο κακόν· διὸ μὴ
θαυμάζετε φησί· ἀλλὰ δὲ μᾶλλον φρονεῖτε· ἰδοὺ γὰρ δέδωκα
ὑμῖν τὴν ἐξουσίαν· ἐπεὶ δὲ καὶ οὕτως λαλεῖν περὶ τούτου κα-
τὰ τὸν μέγαν Κύριλλον· ὅτι ὡς ἀστραπὴν ἐκ τοῦ οὐ(ρα)νοῦ ἐθεώρουν τὸν
διάβολον πεσόντα· τουτέστιν ἐξ ὕψους εἰς γῆν κατενηνεγμένον
ἐκ δόξης, καὶ αὐτῆς [illegible] ἐξ ὑπεροχῆς πολλῆς, καὶ εἰς ἐσχάτην ταπείνωσιν
[illegible]· πρὸ μὲν γὰρ τῆς τοῦ χ(ριστο)ῦ καὶ θ(εο)ῦ καὶ σ(ωτῆ)ρ(ο)ς ἡμῶν ἐπιδη-
μίας, κατεκράτησε τῆς οἰκουμένης· προσεκυνεῖτο σχεδὸν
παρὰ πάντων· ναοί τε αὐτῷ καὶ θυσίαι· τούτοις αὐτῷ πλῆθος·
ἐπειδὴ δὲ καταπεφοίτηκεν ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ θ(εο)ῦ
λόγος, πέπτωκεν [illegible] ὡς ἀστραπή· ὁ πάλαι τοῖς ὄχλοις
προσκυνούμενος, τοῖς τε πεπλανημένοις· ὑπὸ πόδας τίθε-
ται τῶν προσκυνούντων αὐτόν· καὶ ὄφεις δὲ καὶ σκορπίους λέ-
γει τοῦτο δηλοῖ· ὡς περὶ αὐτοῦ τε τοῦ διαβόλου ἑρμηνεῦον τὸ
τῶν δαιμόνων αὐτοῦ· οἱ γὰρ μέσον αὐτῶν καταπατοῦνται ὑπὸ
τῶν τοῦ δεσπότου χ(ριστο)ῦ [illegible]· τὴν τοιαύτην ἐξουσίαν λα-
βόντων [illegible]· τὸ δὲ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν

καμίας. ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε· ἐσθίοντες καὶ πίνοντες τὰ
παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι· μὴ μετα-
βαίνετε ἐξ οἰκίας εἰς οἰκίαν· Καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε καὶ
δέχονται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν· καὶ θερα-
πεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς· Καὶ λέγετε αὐτοῖς· ἤγγικεν ἐφ' ὑμᾶς
ἡ βασιλεία τοῦ θεοῦ· εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχονται ὑμᾶς,
ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε· καὶ τὸν κονιορτὸν τὸν
κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν εἰς τοὺς πόδας ἡμῶν,
ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε· ὅτι ἤγγικεν ἐφ' ὑ-
μᾶς ἡ βασιλεία τοῦ θεοῦ· λέγω ὑμῖν· ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ· οὐαί σοι χοραζίν·
οὐαί σοι βηθσαϊδά· ὅτι εἰ ἐν τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις
αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι
μετενόησαν· πλὴν τύρῳ καὶ σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ
κρίσει, ἢ ὑμῖν· καὶ σὺ καπερναούμ· ἡ ἕως οὐρανοῦ ὑψωθεῖσα,
ἕως ᾅδου καταβιβασθήσῃ· :

ὐχ ἁπλῶς δὲ ἀνέδειξεν ὁ κ(ύριο)ς καὶ ἑτέρους ἑβδομήκοντα· Καὶ
ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν
πόλιν καὶ τόπον οὗ αὐτὸς ἔμελλεν ἔρχεσθαι· ἀλλ' ἐδήλωσε διὰ πολ-
λῶν πῶς ἔμελλεν ἰᾶσθαι τῶν εἰς αὐτὸν πιστευόντων ἢ πλῆθος·
ἰσάριθμα· οὐ γὰρ μόνος ὁ Ἰσραήλ· ἀλλὰ καὶ ἀπὸ τῶν ἐθνῶν ἄλλοι·
διὰ τοῦτο ἀνεδείχθησαν παρὰ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. πρὸς τοῖς δώ-
δεκα, καὶ ἕτεροι ἑβδομήκοντα·

ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· Καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ
δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με· ὑπέστρεψαν δὲ
οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· κ(ύρι)ε καὶ τὰ δαιμόνια ὑ-
ποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου· εἶπε δὲ αὐτοῖς· ἐθεώρουν
τὸν σατανᾶν, ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν πεσόντα· ἰδοὺ δίδω-
μι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων·
Καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ
μὴ ἀδικήσῃ· πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν
ὑποτάσσεται· χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν

τοῖς οὐρανοῖς· ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς· ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου·

Ἀπέστειλε τοὺς ἑβδομήκοντα· διὸ καὶ λέγει· ὅτι ὑπέστρεψαν μετὰ χαρᾶς· ὡς ἐπακολουθησάσης τῷ λόγῳ τῆς θεοσημείας· ἔλεγον γὰρ κύριε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου· οὐχ οὕτω δὲ χαίροντες ὅτι μᾶλλον ἐγένοντο τοῦ θείου κηρύγματος διάκονοι τοῦτο εἶπον· ἀλλ' ὅτι σημείων γεγόνασιν αὐτοὶ ἐργάται· ὁ κύριος δέ φησιν ὁ Χριστός· ὅτι ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· τοῦτο δηλοῖ· ὅτι ἐξ ὅτε ἀρχὴν αὐτὸς κατὰ τὸ ὕστερον, οἱ δ' οὖν λοιποὶ τί προσδοκῶσι δηλ[illegible]· λέγει δὲ τοῦτον ἑωρακέναι· ἐπειδὴ ἄλλος οὐ δύναται εἰ δὴ μὴ ὁ κρείττων ὁ αὐτὸς [illegible]· ὡς ἀστραπὴν δὲ εἶπεν· ὅτι λαμπρὸς ἦν τὴν φύσιν· ἢ καὶ σκοτώδης γέγονε τὴν προαίρεσιν· ὃ γὰρ ἐποίησεν ὁ θεός, τοῦτο καλόν· ὃ δὲ μετεποίησεν ὁ διάβολος, τοῦτο κακόν· διὸ μὴ θαυμάσητε φησί· μηδὲ μεγαλοφρονεῖτε· ἐγὼ γὰρ δέδωκα ὑμῖν τὴν ἐξουσίαν· ἔδει δὲ καὶ οὕτως λαλεῖν περὶ τούτου κατὰ τὸν ἅγιον Κύριλλον· ὅτι ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ εἶδε τὸν διάβολον πεσόντα· τοῦτ' ἔστιν ἐξ ὕψους ἐς χθαμαλὸν κατενηνέχθαι· ἐκ δόξης, ἐς ἀτιμίαν· ἐξ ὑπεροχῆς πολλῆς, ἐς ἐσχάτην [illegible]· πρὸ μὲν γὰρ τῆς τοῦ Χριστοῦ καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιδημίας, κατεκράτησε τῆς οἰκουμένης· προσκυνούμενος σχεδὸν παρὰ πάντων· ναοὶ δὲ [illegible] θυσιαστήρια τούτῳ ἀνηγέρθησαν· ἐπειδὴ δὲ καταπεφοίτηκεν ἐξ οὐρανῶν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, πέπτωκεν [illegible] ὡς ἀστραπή· ὁ πάλαι [illegible] προσκυνητὸς τοῖς πεπλανημένοις· ὑπὸ τοὺς πόδας τίθεται τῶν προσκυνούντων αὐτόν· καὶ ὄφεις δὲ καὶ σκορπίους, αὐτὸ τοῦτο δηλοῖ· ὡς περὶ αὐτοῦ τε τοῦ διαβόλου εἰρημένον ἢ τῶν δαιμόνων αὐτοῦ· οἵτινες σὺν αὐτῷ καταπατοῦνται ὑπὸ τῶν δούλων Χριστοῦ τοῦ θεοῦ ἡμῶν· τὴν τοιαύτην ἐξουσίαν λαβόντων παρ' αὐτοῦ· τὸ δὲ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν κάμψει· ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε· ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστί· μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν· καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν· καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς· καὶ λέγετε αὐτοῖς· ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ· εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς, εἴπατε· καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πόλεως ὑμῶν εἰς τοὺς πόδας ἡμῶν, ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε· ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ· λέγω ὑμῖν· ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ· οὐαί σοι Χοραζίν· οὐαί σοι Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν· πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει, ἢ ὑμῖν· καὶ σὺ Καπερναούμ· ἡ ἕως οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· :

Οὐχ ἁπλῶς δὲ ἀπέδειξεν ὁ κύριος καὶ ἑτέρους ἑβδομήκοντα· καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ αὐτὸς ἔμελλεν ἔρχεσθαι· ἀλλ' ἐπειδὴ πολλῷ πλέον ἔμελλεν ἔσεσθαι τῶν εἰς αὐτὸν πιστευόντων ἡ πληθύς, [illegible] γὰρ οὐ μόνος ὁ Ἰσραήλ· ἀλλὰ καὶ αἱ τῶν ἐθνῶν ἀγέλαι· διὰ τοῦτο ἀνεδείχθησαν ἀπαρχαὶ τοῦ θεοῦ ἡμῶν. πρὸς τοῖς δώδεκα, καὶ ἕτεροι ἑβδομήκοντα·

Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με· ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου· εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν, ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν πεσόντα· ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ· πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον· καὶ ἐπεμελήθη αὐτοῦ· καὶ ἐπὶ τὴν αὔριον ἐξελθών, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ· καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι· τίς οὖν τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς· ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ· εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· πορεύου καὶ σὺ ποίει ὁμοίως·

